F. 180-181v. <Mich. Pselli?> Σύντομος ἔφοδος περὶ ἀστρονομίας (vel potius ... astrologiae) (Ἐμοὶ μὲν ἀποπεφάνθω τὰς τῶν ὡρῶν κράσεις — ἀποχρῶνται καὶ ταῦτα τὸ εἶδος τῆς ἐπιστήμης <σ>υσκιάσασθαι).

30. (N 234 sup.) — Chartac., cm. 22 × 16, saec. XVI, ff. 13.

F. 1. Ἐμπεδοκλέους ἀπλανῶν σφαῖρα praevia notula Οἱ παρόντες στίχοι etc. Cf. cod. 28 f. 54.

F. 4. Τοῦ αὐτοῦ πλανωμένων σφαῖρα ἐν ἡρωικοῖς μέτροις (in marg. alia manu : Ἐμπεδοκλέους πλανήτων ἀστέρων σφαῖρα). Sunt iidem vv. XIII quos continet cod. 5.

31. (N 246 sup.) — Chartac., cm. 22,7 × 17,6, saec. XVI in., ff. 35.

F. 24v, 35. Ἑρμοῦ τοῦ Τρισμεγίστου περὶ σεισμῶν· ἐν ἄλλῳ Ὀρφέως (Φράζεο δὴ καὶ τόνδε λόγον ... — τετραπόδων ... κατὰ χώρας). Cf. *Catal. Flor.*, p. 4 (cod. 5, 367v) et supra codd. 5 et 24 f. 20.

32. (N 284 sup.) — Chartac., cm. 24,4 × 15,3, saec. XVI, ff. 65.

F. 56-60. Προγνωστικὸν ἀπὸ τῶν ἐν τῇ παλάμῃ γραμμῶν· ὅροι (Τί ὁρίζειν χρὴ καὶ καλεῖν τὸ ἀπὸ τῶν γραμμῶν μέρος τὸ πρὸς τῷ καρπῷ μέχρι τῶν δακτύλων ὅλων — εὐχερῶς ἀπατώμενοι ὑπὸ γυναικῶν). Cf. cod. 33 f. 247 ss.

33. (Q 13 sup.) — Chartac., cm. 22 × 14,8, saec. XV-XVI, ff. 339.

F. 242v. Παρασημειώσεις προγνωστικαὶ περὶ τῆς μελλούσης τοῦ ἀέρος καταστάσεως.

F. 243v. Τίνα ὁ παρήλιος σημαίνει.

F. 244. Ἀπὸ τῶν κατὰ τὴν Σελήνην (Ἐὰν ἡ ἄνω κεραία τῆς Σελήνης ἀπὸ πρώτης ἡμέρας ἀποκρύπτηται — εἰ μελαινότερα ὑπάρχουσιν).

F. 244v. Ἀπὸ τῶν κατ' οὐρανὸν συμβαινόντων (Ἐὰν ἐν τῷ οὐρανῷ φλὸξ ἀνημμένη φανῇ — εἰ δὲ καὶ ἄστρα ἀμαυρὰ φανῶσιν, χειμῶνα δηλοῖ καὶ ἄνεμον σφοδρόν).

F. 245. Τί σημαίνουσιν [cod. σημαίνει] αἱ μείζους ἀστραπαὶ τῶν βροντῶν (Ὅταν ἀστραπαὶ ἰσχυρότεραι ὦσιν, αἱ δὲ βρονταὶ μὴ κατὰ λόγον τῶν ἀστραπῶν γίνονται — ὄμβρους δηλοῖ).

Ἀπὸ τῶν κατὰ τὰς ἀστραπὰς καὶ τοὺς ἀνέμους (Βορὰς ἀστράπτων ὕδωρ ἐπάγει πολὺ — βροντὴ μεσημβρίας ὕδωρ προμηνύει. Ἡ δὲ τῆς νυκτὸς ὕδωρ <τε> καὶ ἄνεμον). Expl. f. 245ᵛ.

F. 247-252ᵛ. Προγνωστικὸν ἀπὸ τῶν ἐν τῇ παλάμῃ γραμμῶν. Conspirat ad verbum cum cod. 32.

F. 256. Ἀμμωνίου ἀστρονομικῶν μέθοδος ᾗ δεῖ κατασκευάζειν ὡροσκόπον ἤτοι ἀστρόλαβον (Τὸ μὲν ἔξω δοχεῖον ὃ περιέχει τὰ τύμπανα — [des. mut. f. 256ᵛ] κύκλος τοῦ ἰσημερινοῦ καὶ). Cf. cod. 10 f. 29.

34. (Q 87 sup.) — Chartac., cm. 29 × 21, saec. XV, ff. 278.

F. 1-2ᵛ. Νικηφόρος ὁ Γρηγορᾶς (al. m. :) οἴκοθεν + περὶ κατασκευῆς ἀστρολάβου ὀργάνου· περὶ τῶν τοῦ ἀστρολάβου τυμπάνων ἐν οἷς τὰ διάφορα τῆς οἰκουμένης καταγράφονται κλίματα, παράδοσις πῶς δεῖ πρῶτον καταγράφειν ἐν αὐτοῖς τοὺς τρεῖς κύκλους· τόν τε χειμερινὸν· τροπικόν· καὶ τὸν ἰσημερινὸν· καὶ ἔτι τὸν θερινὸν τροπικόν (Τὸ μὲν ἔξω δοχεῖον ὃ περιέχει τὰ τύμπανα — ἅπτεσθαι τοῦ χειμερινοῦ τροπικοῦ ὅπερ ἔδει δεῖξαι). Maximam partem ff. 1ᵛ et 2 diagrammata occupant. Cf. cod. 10 f. 29.

35. (R 103 sup.) — Chartac., cm. 30,8 × 21,8, saec. XVI et XVII, ff. 339.

F. 36. Ῥητορίου ἔκθεσις καὶ ἐπίλυσις περί τε τῶν προειρημένων δώδεκα ζῳδίων καὶ περὶ ἑτέρων διαφόρων ἐκ τῶν Ἀντιόχου θησαυρῶν (<Prooemium> Τίνος ἕνεκα — ὅ ἐστι ὕδωρ). — F. 37. Περὶ ἀρσενικῶν καὶ θηλυκῶν ζῳδίων καὶ ἀρρενουμένων καὶ θηλυνομένων ἀστέρων. — F. 38. Περὶ τῆς των ιβʹ ζῳδίων κράσεως. — Περὶ ζῳδίων λεπρωδῶν, ἀλφωδῶν καὶ τῶν τοιούτων. — F. 38ᵛ. Περὶ ὑψωμάτων καὶ ταπεινωμάτων ἀστέρων. — F. 39. Περὶ τῶν ἐναντιωμάτων τῶν ἀστέρων. — F. 39ᵛ. Περὶ τῆς τῶν τριγωνικῶν δεσποτῶν αἱρέσεως. — Περὶ τῶν λςʹ δεκανῶν καὶ τῶν παρανατελλόντων αὐτοῖς καὶ τῶν προσώπων αὐτῶν. — F. 40. Περὶ τῶν ἀσυνδέτων ζῳδίων καὶ συμπάθειαν ἐχόντων πρὸς ἄλληλα. — F. 40ᵛ. Περὶ τετραγώνων συμπαθῶν καὶ ἀσυμπαθῶν. — Περὶ ἀκτινοβολίας. — Περὶ δορυφορίας τῶν ἀστέρων. — F. 41. Περὶ συμφωνίας. — Περὶ ἐπιδεκατίας ἢ καθυπερτορήσεως. — Περὶ κακώσεως καὶ ἀχρηματίστων τόπων. — F. 41ᵛ. Περὶ ἰδιοπροσωπίας. — Περὶ μετοχῆς. — Περὶ ἀνταναλύσεως. — Ἐξήγησις τῶν ἐν τοῖς ἀποτελέσμασι ὀνομάτων. — F. 42ᵛ. Περὶ τῶν χρήσεων τῶν κέντρων καὶ τῶν ἐπαναφορῶν καὶ τῶν ἀποκλιμάτων. — F. 43. Περὶ κλήρων σημασίας πῶς δεῖ γνῶναι, τί σημαίνει ἕκαστος

τῶν κλήρων. — F. 43ᵛ. Τέλος τῶν τοῦ Ῥητορίου. — Edidit F. Boll in *Catal. Flor.*, p. 141 ss. Ad classem I editoris (p. 141) pertinet hic codex.

36. (& 157 sup.) — Chartac., cm. 35 × 24, saec. XIV ex., ff. 22. Ut hinc illinc apparet, multa folia exciderunt.

F. 11ᵛ. Περὶ τοῦ ζῳδιακοῦ κύκλου (Ῥητέον ἡμῖν ἤδη καὶ περὶ ζῳδίων· καὶ μοιρῶν καὶ λεπτῶν πρώτων τε καὶ δευτέρων — τοῦ πρώτου ζῳδίου τοῦ Κριοῦ). Est fragmentum (expl. autem ibid.) <Max. Planudis> opusculi quod inscribitur Ψηφοφορία κατ' Ἰνδοὺς ἡ λεγομένη μεγάλη.

INDEX CODICUM

Affinitates codicum.

Cod. 5¹ = Codd. 21¹, 24 f. 19ᵛ, 28 f. 57, 30 f. 4.
Cod. 5² (lacun.) = Codd. 24 f. 20, 31.
Cod. 6 = Cod. 28 f. 86ᵛ.
Cod. 7 f. 147ᵛ (partim) = Cod. 21².
Cod. 10 f. 29 = Codd. 20 f. 189ᵛ, 27 f. 111, 33 f. 256 (mut.), 34.
Cod. 10 f. 35 = Codd. 20 f. 191 (imperf.), 27 f. 114.
Cod. 10 f. 37 = Cod. 27 f. 125.
Cod. 10 f. 38ᵛ = Codd. 20 f. 180, 25 f. 147ᵛ, 27 f. 116.
Cod. 12 f. 191ᵛ (imperf.) = Cod. 26.
Cod. 20 f. 176ᵛ = Cod. 25, f. 159ᵛ.
Cod. 28 f. 54 = Cod. 30, f. 1.
Cod. 32 = Cod. 33 f. 247 ss.

Annorum notae in codd. obviae.

Cod. 2 a. 1542.
Cod. 22 a. 1463 ?

S(criptores), P(ossessores) codd.

Sebastianus Thomas Corcyrensis, cod. 2 (S.).
<Iohannes> Docianus, cod. 22 (P. [et S. ?]).
<Iohannes Vincentius> Pinellus, cod. 27 (P.).

APPENDIX

EXCERPTUM EX CODICE 2 (A 56 SUP.)

F. 2v. Ἀρχὴ τῶν ιβʹ ζῳδίων.

Ζῴδιον αʹ· Κριός.

Ἐὰν βροντήσῃ ἐν ζῳδίῳ τοῦ Κριοῦ, πολλὰ καὶ μεγάλα ἐπικινήματα ἐν τῷ παλατίῳ ἔσονται, καὶ ἔνι ἑκάστῳ φεύγειν εἰς τὰ ἴδια. ὁ δὲ καρπὸς καλός ἐστιν ἅπας, ἀπόδειξις σημείων τῶν μελλόντων. ἔθνη δὲ ἐν ταῖς πόλεσιν εἰσελεύσονται, καὶ πάντας τοὺς ἐνοίκους φυγεῖν χρήσονται, καὶ μετὰ ταῦτα εἰς τὰ ἴδια ἐπιστρέψουσιν. ἐν δὲ τῇ ἀνατολῇ λιμὸς ἔσται, ἐν δὲ τοῖς τετραπόδοις ζῴοις κατὰ τὰ θρέμματα ψόφος ἔσται· σίτου καὶ οἴνου καὶ ἐλαίου εὐφορία καὶ πάντων τῶν καρπῶν. εἰ δὲ σεισμὸς γίνεται, νόσοι αἰφνίδιοι καὶ ἐν πετεινοῖς καὶ ὀρνέοις πτώσεις· καὶ τοῦ λαοῦ καὶ τοῦ βασιλέως ἠρεμία καὶ εἰρήνη καὶ ἀγαλλιάσεις ἔσονται δῆλοι.

Ζῴδιον βʹ· Ταῦρος.

Ἐὰν ἐν Ταύρῳ βροντήσῃ, ἔνθα ἔλθῃ ἡ βροντὴ ἐν τῷ τόπῳ ἐκείνῳ θόρυβος ἔσται, πᾶσα δὲ τῶν καρπῶν εὐφορία· ἐν τόποις χαρά, ἐν δὲ τῇ Αἰγύπτῳ καὶ βαρβάροις καὶ Ἀραβίοις πεῖνα ἔσται· καὶ ἐν τοῖς ξανθοῖς γένεσι καὶ Οὔννοις πόλεμος, καὶ συγκόψουσιν ἀλλήλους ἱκανῶς· καὶ φόβος ἔσται κατὰ τόπον μεγιστάνοις, <καὶ> βασιλέων ἀπώλεια καὶ νόσοι ἐν τῷ κόσμῳ μέγιστοι καὶ ὀφθαλμόπονοι. εἰ δὲ σεισμὸς γίνεται, συνοχὴ τοῖς ἔθνεσιν τοῖς ἐπὶ τῇ βορρᾷ καὶ ἐν τῇ οἰκουμένῃ ἐπανάστασις καὶ βασιλέων φυγαὶ καὶ Ἰσμαηλιτῶν θόρυβος καὶ κατ' Αἴγυπτον καὶ Λιβύην καὶ Λυδίαν καὶ Θρᾴκην ἀλληλοπόλεμοι, καὶ μεληδὸν συγκοπήσονται.

3 cod. tum βροντήσει tum βροντίσει. cod. ζόδιον. δὲ καὶ cod., delevimus δέ. 4 cod. αἱ νὶ ἑκάστω: ἑνὶ ἑκάστῳ sed deest aliquid (Kroll). 5 Num κακός? 6 cod. πόλευσιν. cod. ἐννοίκους χρήσονται = cogent. 8 cod. ζωῆς. καὶ τὰ θρέμματα cod., κατὰ τὰ θρέμματα Boll. ψόφος = vulgo: interitus animalium. cod. ἔσεται. 9 cod. ἐμφορία et sic ubique. 10 cod. ἐφνηδίοι. 11 cod. εἰρεμία. cod. ἀγγαλλίοσοι. 12 δειλοὶ cod., corr. Kroll. 16 cod. πίνα. 16-17 ξάνθοις γενέσοι καιούνοις cod., ξανθοῖς γένεσι καὶ Οὔννοις scripsimus. Possis etiam οὔλοις (Cumont). 17 cod. ἀλλοίλοις, cf. 26, 10 et 28, 15. 18 cod. φοίμοι. An λοιμοὶ? Kroll. 19 ὀφθαλμόπονος cod. 20 An ἐπὶ τῷ? cf. 29, 3. 21 cod. ἰσμαϊλιτῶν. 22 cod. λιβίαν. λιβίων cod., Λυδίαν scripsimus. cod. μελιδῶν.

Ζῴδιον γ'· Δίδυμοι.

Ἐὰν ἐν Διδύμοις βροντήσῃ, ἐν τῷ κόσμῳ θόρυβος γίνεται· ὕστερον δὲ εἰρηνεύσουσι. νόσοι καὶ μαλακία τοῦ λαοῦ, θάνατος δὲ οὐκ ἔσται· καρπῶν δὲ πάντων εὐφορία, ποιμνίων θνήσεις, βροχαὶ ὀλίγαι, ἄνεμοι πολλοὶ καὶ σφοδροί, καὶ ἐξ αὐτῶν αἱ πορεῖαι ἐλαττωθήσονται. τότε δὲ ἀρύσεται ὑετὸς πολύς. θάνατος ἀνδρῶν ἐνδόξων καὶ † γράψε πρὸς Μακεδόνας· εἰς δὲ τὰ βορρᾶ μέρη θόρυβος μέγας γενήσεται καὶ γένη πολλὰ ἀπολοῦνται. εἰ δὲ σεισμὸς γένηται, ἡ Αἴγυπτος ἐρημωθήσεται καὶ Λίβυοι καὶ Ἰνδοὶ εἰς φυγὴν τραπήσονται καὶ Κύπρος [εἰς] ἐρημοσύνεται καὶ τὰ ξανθὰ γένη ἀλλήλους συγκόψωσι· καὶ αἱματοχυσία ἐν τόποις ἔσται, εἰς δὲ ἀνατολὴν εἰρήνη.

Ζῴδιον δ'· Λέων.

Ἐὰν ἐν Λέοντι ζῳδίῳ βροντήσῃ, <εἰς> ἰσότητα ἐπιδώσουσι πᾶσαι αἱ βασιλεῖαι τῆς γῆς καὶ εἰρηνεύσει πᾶσα ἡ γῆ καὶ ἔσται πλοῦτος πολύς, ὥστε <οἱ> πένητες ὀφθήσονται ὡς πλούσιοι καὶ οἱ πλούσιοι ὡς βασιλεῖς, καὶ οὐκ ἔσται τῷ τότε καιρῷ πόλεμος. ἐν δὲ τοῖς ζῴοις νόσος καὶ ἵππων ἀπώλεια· σπέρματα δὲ καὶ καρποὶ γενήσονται καλοί, ὑπὸ νεφελῶν δὲ σαπρωθήσονται. σίτου δὲ σπανία ἐν τόποις <καὶ> οἴνου καὶ ἐλαίου. εἰ δὲ σεισμὸς γίνεται, λοιμοὶ ἐν ἀνθρώποις καὶ λιμὸς ἐν τόποις καὶ φόβος καὶ συνοχὴ καὶ θόρυβοι ἔσονται πολλοὶ καὶ μεγάλοι.

Ζῴδιον ε'· Παρθένος.

Ἐὰν <ἐν> Παρθένῳ ζῳδίῳ βροντήσῃ, πᾶς δόλος βαρβάρων ἀνίσχυρος ἔσται· καὶ κατὰ τῆς βασιλίδος στρατεύσωσι καὶ ποιήσωσι μικρὰν πτῶσιν, ἄπρακτοι δὲ μείνωσι, καὶ ἐν Χαλκηδόνι πεσοῦνται παμπηδὸν ὡς χόρτος τοῦ ἀγροῦ. περὶ δὲ τὰ μέρη τῆς Αἰγύπτου καρποὶ καλοί, καὶ οἱ φίλοι τοῦ ἐν Αἰγύπτῳ βασιλέως κατ' αὐτοῦ ἀντιστήσονται, καὶ ἀντ' αὐτοῦ ἕτερος βασιλεὺς ἔσται. ἔσονται δὲ τοῖς πλέουσι κίνδυνοι πλεῖστοι, ὑετὸς πολὺς καὶ ἄνεμος καὶ ψῦχος καὶ χάλαζα. εἰ δὲ

1 et 2 cod. δύδυμος et δυδύμο. 3 cod. νόσοις. 4 cod. πασιῶν. πιμνείων θνήσκης cod., ποιμνίων θνήσεις scripsimus. 5 cod. αἰπορίαι. ἐμπορίαι coni. Kroll. 5-6 τὸ δὲ ἀρέσεται cod., τότε δὲ ἀρύσεται scripsimus. An τ. δ. ῥεύσεται? 6 γραφαί? (scil. ἀνδρῶν ἐνδόξων) Boll. ἀστραπαὶ Kroll. 9 cod. λύβιοι. cod. ἴνδει. An scribendum ἐρημοσυνεῖται? εἰς ἐρήμωσιν γίνεται coni. Kroll. 10 τὸ ξανθῶ γένει ἀλλήλων cod., τὰ ξανθὰ γένη ἀλλήλους scripsimus, τῷ ξανθῷ γένει ἀλλ. σύγκοψις coni. Kroll. 12 Ordo signorum zodiaci turbatus: nam cancer sequitur libram (Boll). 13 et 22 cod. ζώδιον. 13 cod. ἐπιδώσοσυν. 15 cod. πένιται. 17 cod. γεννήσονται. 18 cod. σανπροθήσονται. 19 cod. λίμοι. 20 cod. θόροιβοι. 22 cod. πᾶν. Fort. πᾶς στόλος. Ad expeditionem Rossorum anno 941 alludere videtur (Cumont). 24 cod. χαλκιδώνη. cod. παν πίδωυνος. 25 cod. τοῖς αἰγύπτου. 26 cod. φυλοὶ τοῦ ἐν αἰγύπτου. ἀντηστήσεται cod., ἀντιστήσονται scripsimus. Num ἀναστήσονται? Cf. 28, 10. 27 ἔσονται ἔσονται cod., ἔσται. ἔσονται scripsimus. cod. πλοίωσιν.

σεισμὸς γένηται, νόσοι καὶ θάνατος πολὺς καὶ λοιμὸς [καὶ] ἐν ζῴοις καὶ ἑρπετοῖς καὶ θηρίοις συνήσεται.

Ζῴδιον ϛ'· Ζυγός.

Ἐὰν ἐν Ζυγῷ τῷ ζῳδίῳ βροντήσῃ, πόλεμοι μεγάλοι ἐν τῷ κόσμῳ τετραχόθεν ἔσονται, καὶ μῖσος ἔσται τοῖς ἀνθρώποις ἑτέρῳ πρὸς ἕτερον ὥστε ἀδελφὸς ἀδελφὸν σφάξῃ, καὶ ἐπὶ ταῖς τῶν ὑδάτων πηγαῖς λείψεις ὑπὸ ἀνυδρίας καὶ λιμὸς μέγας ἐν τόπῳ οὗ ἡ βροντὴ ἔλθῃ· καὶ οἱ ἄνθρωποι ἀπὸ μεγάλων θορύβων καὶ θανασίμων ὄφεων καὶ σκορπίων καὶ ἑρπετῶν ἀπολοῦνται. βαρβάρων ἐπιδρομαί, καὶ νεανίσκων καὶ γυναικῶν καὶ παρθένων αἰχμαλωσία, ἅμα δὲ καὶ περὶ τὸν βασιλέα ...· καὶ οἱ καρποὶ σῶοι ἔσονται ἀπὸ <τῶν> ἀνθρώπων μὴ ὄντων. εἰ δὲ σεισμὸς γένηται, σημεῖα ἐν ἡλίῳ καὶ σελήνῃ καὶ ἄστροις <ἔσται>, καὶ μέγιστον μέρος [δὲ] εἰρηνεύσει τοῖς πᾶσι, καὶ τὰ ἰοβόλα πάντα θανατωθήσονται καὶ οὐδὲν κακὸν τοῖς ἀνθρώποις ἅψηται.

Ζῴδιον ζ'· Καρκῖνος.

Ἐὰν ἐν Καρκίνῳ ζῳδίῳ βροντήσῃ, καρπῶν παντοίων εὐφορία, ποιμνίων θνήσεις καὶ πανταχοῦ νόσος ἐν ζῴοις, ὑδάτων λείψεις, ἀνεμοφθορίαι, ἐκ δὲ τῶν ἀέρων αἱ ὀπῶραι λείψωσιν, κατὰ δὲ θέρος ὑετὸς πολὺς καὶ εὐθηνία. ἐν τῇ Ῥώμῃ ταραχὴ μεγάλη καὶ πολλοὶ τῶν ἐν τῇ Ῥώμῃ ἐκ τοῦ φόβου καὶ τῆς ἐσομένης ταραχῆς ἀπολοῦνται, καὶ τὸ βασίλειον τῆς Ῥώμης ὑπὸ τοῦ κατέχοντος αὐτὴν ἀρθήσεται καὶ ἀντ' αὐτοῦ ἕτερος ἄρξει καὶ κατακρατήσει τὰ ξανθογενῆ ἔθνη καὶ εἰρηνεύσει ταῦτα καὶ ἐκστρατεύσει ἐν θαλάσσῃ καὶ ἐρημώσει τὴν παραλίαν πᾶσαν τῶν τῆς ἀνατολῆς μερῶν, καὶ λάβῃ νόσους καὶ ἐνταῦθα θνήξεται καὶ ὁ λαὸς αὐτοῦ ἀκέφαλος ὑποστρέψει ἐν Ῥώμῃ. εἰ δὲ σεισμὸς γένηται, οἱαδήποτε χώρα περίκαυστος γενήσεται καὶ ποντισμοὶ κατὰ τόπους ἔσονται.

Ζῴδιον η'· Σκορπίος.

Ἐὰν <ἐν> Σκορπίῳ βροντήσῃ, λιμὸς καὶ πεῖνα μεγάλη ἔσται καὶ ὀφθαλμόπονος ἐν τῷ λαῷ· χειμὼν μέσος, καρπῶν δὲ εὐφορία κατὰ

1 cod. γένειται. λιμὸς cod., λοιμὸς scripsimus. 2 cod. συνείσεται. 4 cod. τὸ ζώδιον. 5 cod. ἕτερον πρὸς ἕτερον. 6 ἐπὶ, fort. ἐν. 7 cod. λήψεις. 8 θόσιμον τῶν ὄφεων cod., θανασίμων ὄφεων scripsimus. 9 cod. ἐπιδρομεῖ. 10 post βασιλέα quaedam deesse videntur. 11 cod. σόεἰ. ἀπὸ ἀνέμων coni. Kroll. 12 cod. ιλείω. 13 μέγιστων cod., corr. Kroll. An μεγιστάνων, cf. 25, 18? 14 cod. κακῶν. 16 cod. ζώδιον. cod. ἐμίφοραι. 17 ποιμνείων θνήσκης cod., ποιμνίων θνήσεις scripsimus. cod. λείψης. ανεμφορίαι cod., ἀνεμοφθορίαι Boll. 18 cod. λήψωσιν. 20 cod. αἰσωμένης. 22 cod. τὸ ξανθὸ γένη. An ξανθογένεια? Cumont. 24 cod. λάβην. Num νόσον? 30 χυμῶν μέσις cod., χειμὼν μέσος scripsimus.

τόπον· καὶ παῖδες ἄρρενες ἐν μοιχείᾳ πεσοῦνται πανταχόθεν ἐπὶ τὰς τῶν γειτόνων αὐτῶν γαμετάς· καὶ ταραχαὶ ὑπὸ τῶν βαρβάρων ἔσονται· ἐν δὲ τῇ βασιλευούσῃ τῶν πόλεων πόλεμος ἄνευ βλάβης γενήσεται. εἰ δὲ σεισμὸς γένηται, Ἀσία Καππαδοκία Πόντος Ἀρμενία ὑπὸ λιμοῦ φθαρήσονται, καὶ ὁ βασιλεὺς αὐτῶν εἰς ἑτέρου βασιλέως χεῖρας αἰχμάλωτος ἔσται καὶ ἐνταῦθα θνήξει.

Ζῴδιον θʹ· Τοξότης.

Ἐὰν ἐν Τοξότῃ βροντήσῃ, συμπτώματα καὶ θόρυβοι ἐν τόποις ἔσονται· σίτου, κριθῶν, οἴνου καὶ ἐλαίου καὶ καρπῶν παντοίων εὐφορία ἐν πάσῃ τῇ γῇ. τινὲς δὲ τῶν συγκλητικῶν ἀναστήσονται καὶ βασιλεύσουσιν ἐν μέρει τῆς ἀνατολῆς κατὰ τόπους, καὶ οἱ τούτοις συναινέσαντες εἰς τὰ βασίλεια ὕστερον αὐτοὺς ἀποκτείνωσι <ὥστε> καὶ αὐτῷ ξίφει ἀποτμηθῆναι ὑπὸ τοῦ λαοῦ· εὐθυμίαι δὲ <ἔσονται> καὶ εἰρήνη ἐν ὅλῳ τῷ κόσμῳ. εἰ δὲ σεισμὸς γενήσεται, Πέρσαι καὶ Ἰσμαηλῖται συγκοπήσονται ἀλλήλους καὶ εἰς φυγὴν τραπήσονται ὀξεῖαν ὑπὸ τοῦ ξανθοῦ <γένους> καίπερ οὐ διωκόμενοι· καὶ Κουμανία καὶ Ἀλανία ἀβασίλευτοι ἔσονται.

Ζῴδιον ιʹ· Αἰγόκερως.

Ἐὰν <ἐν> Αἰγόκερῳ βροντήσῃ, πᾶσαν ἄμυναν δηλοῖ· τὸ γὰρ βασίλειον κράτος τῶν Ῥωμαίων διὰ μηχανῆς ἀπολεῖται, καὶ † κλῆρος [1] ἐπὶ ἀνατολὰς ἔλθῃ, ὃς κατασχῇ τὸν τόπον. Χαλδαῖοι δὲ λέγουσιν ὅτι ὁ κατέχων τὸν τόπον βασιλεύσει, καὶ πεῖνα μακρὰ ἐν αὐτῷ γένηται,

1 cod. μηχεία. 2 cod. γιτόνων. 3 ἀνεβλαβῆς cod., ἄνευ βλάβης scripsimus. 6 ἔσεσθαι cod., ἔσται scripsimus. 10 συγκλειτικῶν cod., συγκλητικῶν scripsimus. 11 τούτους cod., τούτοις Boll. cod. συνεναίσαντες. 12 εἰς = ἐν Boll. <ὥστε> Boll. 13 αὐτὸν ξίφοι cod., αὐτῷ ξίφει Boll. 14 cod. ἰσμαηλεῖται. 15 cod. ἀλλήλλων. cod. φυγεῖν τραπήσεται ξυχεία cod., φυγὴν τραπήσονται ὀξεῖαν scripsimus. 16 cod. κουμανοία. Sunt Turci Cumani qui ripam Ponti Euxini incolebant (Cumont). Num Ἀλβανία in Caucaso? Etsi Alanorum nomen etiam extremis Byzantini imperii temporibus comparet. 17 cod. καὶ ἀβασίλευτοι delevimus καί. cod. (post ἔσονται) ὑπὸ τοῦ ξάνθου· καίπερ οὐ ἔθνη διωκόμενοι quae correcta suo loco posuimus. 19 cod. αἰγόκερος. cod. ἄμειναν. 20 cod. μειχανοῖς. 21 cod. τῶν τόπων. 22 μικρὰ cod., μακρὰ scripsimus. cod. αὐτοῖς.

[1] Fortasse nomen proprium in κλῆρος latet (num ὁ Σκληρός i. e. Bardas ὁ Σκληρός, qui in Asia circa finem saec. X contra Basilium II pugnavit?). Utut de hoc loco cogitandum est, ea profecto quae passim commemorantur, nempe barbarorum (Selgiukidorum?) incursiones in Asiae provincias (28, 4; cf. 27, 9), Cumanorum sedes (28, 16), Bulgarorum clades et bella (29, 21; cf. 29, 3 [?]), iconoclastarum denique devastationes, quarum vestigia adhuc conspicua erant (29, 15), huiusmodi sunt ut plane persuadeant hanc scriptiunculam forma qua nunc legimus vix saeculo X ex. aut XI in. recentiorem esse. — Cf. etiam ad 26, 22.

χειμὼν κακός, ὑετοὶ πλεῖστοι, ἄνεμοι βίαιοι, καὶ ἐν τῇ εὐρυχώρῳ θαλάσσῃ κίνησις μεγάλη καὶ κατὰ πᾶσαν πόλιν καὶ χώραν κίνησις διὰ πολέμου. εἰ δὲ σεισμὸς γένηται, τὰ ἀπὸ τοῦ βορρᾶ καθ' Αἵμου ἔθνη ἐξελεύσονται καὶ πορθήσωσι καὶ ἐξολοθρεύσωσι καὶ ἐμπρήσωσι τὰ πάντα.

Ζῴδιον ιαʹ· Ὑδροχόος.

Ἐὰν ἐν Ὑδροχόῳ βροντήσῃ, μεγάλη κίνησις ἐν θαλάσσῃ ἔσται καὶ ἐν τόπῳ· στρατὸς ἐνταυθοῖ εἰσέλθῃ καὶ ἐκστρατεύσει πᾶσα οἰκουμένη πρὸς Ῥώμην καὶ δύσιν. καὶ ἐν τῇ ἀνατολῇ ἔσται εἰρήνη μεγάλη καὶ ἄνεσις· ἐν δὲ τῇ δύσει σαπρία, φθορὰ <δὲ> ἐν πᾶσι καὶ ἔνδον ἐν τῇ ἑπταλόφῳ χαραὶ καὶ θυμηδία καὶ εὐφροσύνη μεγάλη ἔσται· καὶ Συρία πάντα τὰ ἀγαθὰ σχῇ, πλὴν οἱ ἄνδρες λείψωσι, <τὰ> γύναια δὲ <καὶ> οἱ παῖδες πληθυνθήσονται. εἰ δὲ σεισμὸς γενήσεται, ἐπανάστασις γένηται κατὰ τῆς πίστεως καὶ εἰρήνη σωθῇ καὶ στηριχθῇ ἡ τῶν Χριστιανῶν πίστις· καὶ ἀνεγερθήσονται ναοὶ συμπόρθητοι καὶ ἐκ πτωμάτων <τῶν> ἁγίων εἰκόνων ἀπολειφθέντες. καὶ ἔσται εἰρήνη ἐν ὅλῳ τῷ κόσμῳ καὶ πᾶσα αἵρεσις πεσεῖται καὶ ἀφανισθήσεται.

Ζῴδιον ιβʹ· Ἰχθύες.

Ἐὰν ἐν Ἰχθύσι ζωδίῳ βροντήσῃ, ἔσται λιμὸς ἐν τόποις καὶ φθορὰ πᾶσα μακρά, κίνδυνος οὐκ ὀλίγος τῶν ἐν τῇ οἰκουμένῃ οἰκούντων καὶ σάλος κατὰ γῆς Βουλγάρων, ὕστερον δὲ εὐωχηθῶσιν ἀλλήλους, τοῖς δὲ τὴν Συρίαν οἰκοῦσιν ἐν ζυγῷ ἔσονται καὶ αἰχμαλωσίᾳ ὑπὸ <τῆς> τοῦ βασιλέως Ῥωμαίων ὁρμῆς· τῆς δὲ οἰκουμένης ἠρεμία καὶ μεγάλη γαλήνη, βοῶν ἀπώλεια καὶ ἑρπετῶν, οἴνου καὶ ἐλαίου πλησμονή, καὶ τοῦ βασιλέως ἄνεσις. εἰ δὲ σεισμὸς γένηται, Σάμος καὶ Κρήτη καὶ Καλαβρία ὑπὸ τῶν γειτόνων αὐτοῖς ἀναλωθήσονται καὶ ἐκλείψῃ ὁ ἄρχων αὐτῶν.

1 καλῶς cod., κακός scripsimus. 3 ὑπὸ cod., ἀπὸ scripsimus. καθυρμίου cod., καθ' Αἵμου scripsimus. An ἀποκαθαρμίου? Boll. Fortasse ὑπο κάθ' Αἵμου (Cumont). 4 cod. ἐμπρύσοσοι. 7 κλεὶς cod., κίνησις scripsimus. κλύσις coni Kroll. ἔσεσθαι cod., ἔσται scripsimus. 8 cod. τόπου. ἠσέχθει cod., εἰσέλθῃ Cumont. 10 cod. πάσῃ, corr. πάσϊ. 11 cod. θυμιδία. 12 cod. λήψωσοι. cod. γυναία δὲ οἱ. 13 cod. πλυνθηθήσονται. 14 σῶσῃ cod., σωθῇ corr. Kroll. 15 cod. συνπόθητοι. 16 ἀποληφθέντων cod., ἀπολειφθέντες scripsimus. 18 et 19 cod. ἰχθύς et ιχθύαις. 19 cod. ζώδιον. 20 μικρᾶ cod., μακρά scripsimus. cod. κίνδυνον. 21 σαλχ῀ cod., σάλος scripsimus. cod. βουλγαίρων. cod. εὐωχηθόσυν ἀλλήλοις. 24 cod. γαλύνη. 26 ἐπὶ τῶν κοιτόνων cod., ὑπὸ τῶν γειτόνων scripsimus. 27 cod. ἐκλείψης.

EXCERPTUM EX CODICE 7 (B 33 SUP.)

F. 93. Περὶ τῆς τῶν ζῳδίων βασιλείας[1].

Δεῖ γινώσκει<ν> ὅτι τῶν καθ' ἕν<α> καιρῶν ἓν πρὸς ἓν ζῴδιον βασιλεύει, καὶ ποιεῖ χρονικὴν δίαιταν ἐν τῷ κόσμῳ· οὐχ ὁρμαθικῶς δὲ καὶ κυκλικῶς ἡ βασιλεία κυκλοῖ τῶν αὐτῶν, ἀλλὰ κατὰ διαστολήν τινα βαθμῶν ἄλλος ἀστὴρ ἄλλοτε βασιλεύει.

Κριοῦ βασιλεύοντος, ἥμερός ἐστιν ὁ χρόνος· χειμὼν γλυκύς· εἰρήνη βασιλέων· σπορὰ εὔφορος· ἔαρ βροχηφόρον· χόρτος πολύς· αὔξησις προβάτων καὶ μελισσῶν· θηρίων ἀγρίων θάνατος· γάλα πῖον.

Ταύρου βασιλεύοντος, χειμὼν μεσαῖος· σπόρος πάμπλειστος· ἔαρ ἀνεμῶδες· μελισσῶν ἀπώλεια· ξυλοκαρπίας σπάνη· βοῶν αὔξησις· βασιλέων μεγάλων θάνατος.

Διδύμων βασιλευόντων, ἐπίβροχος ὁ καιρός· σπορὰ πολυφόρος· καρύων πλῆθος· ἀρχόντων ἐπιβουλαὶ κατὰ τῶν αὐθεντῶν· προβάτων θάνατος· ποταμοφορίαι πολλαί.

Καρκίνου βασιλεύοντος, ταραχαὶ κόσμου καὶ βασιλέων· σπαθῶν αἱματώσεις· θάνατος πολύς· σπορὰ πολλή· ξυλοκαρπίας σπάνη· αἰχμαλωσία τοῖς ἀνθρώποις· ὑποχειρίων ἐπανάστασις τοῖς ἑαυτῶν αὐθένταις.

Λέοντος βασιλεύοντος, χειμὼν ξηρός· σπάνη ἐν τῷ κόσμῳ· σπορὰ ὀλίγη· πυρετὸς τοῖς ἀνθρώποις· θηρίων ἀγρίων ἐπιφάνεια, καὶ ἀκρὶς ἀβλαβής.

Παρθένου βασιλεύοντος, χειμὼν γλυκὺς καὶ καλός· εἰρήνη τοῦ κόσμου· σπορὰ καλή· ἀμπέλων πλησμονή· γερόντων ἀνθρώπων θάνατος· συνοικέσια πολλὰ εὔτυχα.

2 τὸν ... καιρὸν cod., τῶν ... καιρῶν Boll. καθεξῆς coni. Kroll. 4 cod. κυκλοικῶς. καταστομὴν (δ ά supra) cod., κατὰ διαστολήν scripsimus. κατὰ διατομήν coni. Kroll. 7 cod. βλοχηφόρον. cod. αὔξισις. 9 cod. μεσέος. πᾶνπληθος cod., πάμπλειστος scripsimus. An παμπληθής? 10 et 16 cod. ξυλοκαρπία. 11 cod. ὁ θάνατος delevimus ὁ. Cf. infra l. 14. 24... 12 διδύμου βασιλεύοντος cod., Διδύμων βασιλευόντων scripsimus. cod. ἐπὶ βρόχος. 13 cod. καρίων. 19 cod. σπάθη. 20 θηρων cod., θηρίων scripsimus. 22 cod. γλυκῆς. 24 cod. εὔτιχα.

[1] Cf. Dodecaeterides quas edidit Fr. Boll ex cod. Marc. CCXXIV in *Catal. Venet.*, p. 144 ss.

Ζυγοῦ βασιλεύοντος, ἀδίκων κριτῶν ἀπώλεια καὶ δικαίων κριτῶν ἐπιφάνεια· ὁμοίως καὶ ἐπὶ βασιλέων οὕτως· σπορὰ μεσαῖος· βοῶν θάνατος· χειμὼν μεσαῖος· οἶνος πολύς.

Σκορπίου βασιλεύοντος, τέλος κακῶν καὶ ἀρχὴ καλῶν· χειμὼν ἐλαφρός· πρὸς νήσους λιμός· νόσος παγκόσμιος ἀπὸ χολῆς· βασιλέων μεγάλων θάνατος· πονηροὶ κριταί.

Τοξότου βασιλεύοντος, χειμὼν ἀνεμώδης· ἐαριναὶ βροχαί· ἀκρίδος ἐπιφάνεια, πλὴν ἀπόληται μὴ βλάψασα· γέννησις ἀνδρειωμένων· κυνηγῶν εὐτυχία.

Αἰγοκέρωτος βασιλεύοντος, χειμὼν ξηρός· σεισμοὶ πολλοὶ καὶ ποντισμοί· ξυλοκαρπία πολλή· λύκων θάνατος· ὄσπρια ὀλίγα· σπορὰ οὐ μεσοῦται.

Ὑδροχόου βασιλεύοντος, ἥμερος χρόνος· χιὼν πολλὴ καὶ βροχαί· γλυκέα δὲ τὰ πάντα· εὐθυμίαι καὶ εἰρήνη· ὀμμάτων πόνοι· οἶνος πολύς.

Ἰχθύων βασιλευόντων, εἰρήνη καὶ γαλήνη τῷ κόσμῳ· ἔστι δὲ ὁ αὐτὸς χειμὼν ὑδατώδης, γλυκὺς δέ· αἱ ἄμπελοι χαλαζωθήσονται· οἱ ἰχθύες σπανίως πιασθήσονται.

Καὶ ταῦτα περὶ τῆς βασιλείας τῶν ζῳδίων.

4 An τέλος καλῶν καὶ ἀρχὴ κακῶν? Boll. 6 cod. πονηραὶ. 7-8 ἀκρίδων ... βλάψας cod., ἀκρίδος (cf. supra l. 20 ἀκρὶς) ... βλάψασα scripsimus. 8 cod. ἀνδριομένων. 9 cod. εὐτυχεία. 10 Αἰγόκερος cod., Αἰγοκέρωτος scripsimus. 14 cod. γλικαία. cod. πόνη. cod. πολλῆς. 15 Ηχθῆς ἐὰν βασιλεύση cod., Ἰχθύων βασιλευόντων scripsimus. 16 cod. ὑδατώδεις. cod. ἄμπελαι. 17 πιασθήσονται, cf. Evang. Ioh. 21, 3, 10; Apoc. 19, 20 (Cumont).

EXCERPTA EX CODICE 16 (E 16 SUP.)

F. 39v. <Ἡμέρα> α' <τῆς σελήνης>.

Ἀδὰμ ὁ πρωτόπλαστος ἐγεννήθη. αὕτη ἡμέρα καλὴ καὶ ἀγαθή ἐστιν εἰς πᾶσαν ποίησιν, μάλιστα δὲ ἀγοράσαι, πωλῆσαι, πλέειν, καὶ ἀποδημεῖν, ὁδὸν ὁδεύειν, διαθήκας γράφειν, σώματα ὠνεῖσθαι. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον εὑρεθήσεται. τὰ γεννώμενα ζωτικὰ καὶ εὔτυχα καὶ εὐπαράβολα ἔσονται. ὁ ἀρξάμενος νοσεῖν ταχέως ὑγιαίνει. ἐὰν δέ τις ὄνειρον ἴδῃ, γίνεται τῇ αὐτῇ ἡμέρᾳ δείλης· ὁ μὲν εἰς χαρὰν ἀποβήσεται· ἐὰν ἴδῃς ἑαυτὸν κοιμούμενον, ἐννόησον <ὅτι> πάντας ἐχθρούς σου νικήσεις.

Εἰς τὴν <ἡμέραν> β' τῆς σελήνης.

Φωσφόρος ἐγεννήθη· Εὔα ἐκτίσθη ἐκ τῆς πλευρᾶς τοῦ Ἀδάμ· αὕτη ἡμέρα ἐπιτήδειός ἐστι τοῖς γάμον βουλομένοις ποιεῖν· σῖτον καὶ ἔλαιον διαχύνειν· καὶ τοῖς μείζοσιν ὁμιλεῖν· καὶ πραγματείαν ποιεῖν. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον πρὸς γυναῖκα εὑρεθήσονται. ὁ ἀρξάμενος νοσεῖν πολλὰ παθὼν ἀναστήσεται. ἐὰν δέ τις ὄνειρον ἴδῃ, γίνεται μετὰ ἡμέρας γ', μέντοι γε εἰς ἄλλον ἀποβήσεται· τὸ γεννώμενον φρόνιμον ἔσται κἂν θῆλυ ὑπάρχῃ.

Ἡμέρα γ' <τῆς> σελήνης.

Ἄνεμοι καὶ Θυμοὶ ἐγεννήθησαν· Κάϊν ἐγεννήθη· αὕτη ἡμέρα παρατηρήσιμός ἐστιν εἰς πάντα, μήτε σπεῖραι μήτε θερῆσαι μήτε εἰς μακροδίαν ὁδεῦσαι μήτε ἀμπελῶνα φυτεῦσαι. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον οὐχ εὑρεθήσονται. ὁ ἀρξάμενος νοσεῖν τελευτήσει. τὰ γεννώμενα δύστροφα καὶ βαρύθυμα καὶ ἐφίορκα καὶ ἐπιλοίδορα καὶ ἐπιμανῆ ἔσονται. ἐὰν δέ τις ὄνειρον ἴδῃ, γίνεται τῇ αὐτῇ ἡμέρᾳ, μέντοι γε χαλεπόν ἐστιν.

2 cod. ἐγενήθη. 3 cod. ἀγωράσε. cod. πουλῆσαι et sic paene ubique. 4 cod. ὁδεύσιν. cod. ὀνεῖσθαι 5 cod. ἀπολλόμενον et sic paene ubique. 6 cod. νοσῖν et sic alias. 7 τοι cod. (et sic saepe), τῇ scripsimus. 12 cod. γαμὴν. 13 cod. διαχύννειν. cod. πραγματίαν. 15 cod. ἴδει et sic saepe. 16 φρόνιμος cod., φρόνιμον scripsimus. 17 cod. ὑπάρχει. 19 ἐγεννήθη cod., ἐγεννήθησαν scripsimus. cod. ἐγενήθη. 20 cod. παρατηρίσιμος et sic paene ubique. 23 cod. ἐφύορκα. ἐπιμάνια cod., ἐπιμανῆ scripsimus (et sic ubique).

Ἡμέρα δ' <τῆς σελήνης>.

Ἐγεννήθη Ἄβελ. αὕτη ἡμέρα καλὴ καὶ ἀγαθή ἐστιν εὐχὰς καὶ προσφορὰς προσφέρειν τῷ θεῷ καὶ τοῖς ἁγίοις, καὶ εἰς παντοῖον πρᾶγμα ἐπιχειρῆσαι, μάλιστα δὲ γεωργεῖν, δούλους καὶ βόας κτήσασθαι καὶ πραγματείαν ποιεῖν. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον οὐχ εὑρεθήσονται. τὰ γεννώμενα ἀσθενῆ καὶ δυσανάστροφα καὶ ὀλιγοζώητα ἔσονται. ὁ ἀρξάμενος νοσεῖν τελευτήσει. ἐὰν δέ τις ὄνειρον ἴδῃ, γίνεται μετὰ ἡμέρας γ', μέντοι γε βλαβερόν ἐστιν.

Ἡμέρα ε' <τῆς> σελήνης.

Ἑρμηνεία ἐγεννήθη· Κάϊν τὰς θυσίας προσήγαγεν πρὸς τὸν θεόν, καὶ οὐκ ἑωράθη. ἡμέρα αὕτη παρατηρήσιμός ἐστι προσφορὰς μὴ προσφέρειν μηδὲ εἰς μακροδίαν ὁδεῦσαι. γυναικὶ δὲ ἐδόθη εἰς στρατείαν ἀναστῆσαι. ὁ ὀμόσας καὶ ἐφιορκήσας οὐ ζήσει. τὰ γεννώμενα εὐθαλῆ ἔσται. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον οὐχ εὑρεθήσεται. ὁ ἀρξάμενος νοσεῖν πολλὰ κολασθήσεται. ἐὰν δέ τις ὄνειρον ἴδῃ, γίνεται μετὰ ἡμέρας δύο, μέντοι γε ἐνέργειαν καὶ μάχην ἔχει.

Ἡμέρα ς' τῆς σελήνης.

Ἄρτεμις ἐγεννήθη· Νεβρὼδ ἐγεννήθη. αὕτη ἡμέρα καλὴ καὶ ἀγαθή ἐστιν εἰς παντοῖον κάματον ἐπιχειρῆσαι, μάλιστα δὲ στρατεύειν, τοξεύειν, δούλους καὶ ζῷα καὶ βόας κτήσασθαι. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον μετὰ χαρᾶς εὑρεθήσονται. τὰ γεννώμενα καλότυχα καὶ εὐπαράβολα καὶ καμάτων ἀτυχῆ ἔσονται. ὁ ἀρξάμενος νοσεῖν ταχέως ὑγιαίνει. ἐὰν δέ τις ὄνειρον ἴδῃ, πλὴν τῆς καρδίας αὐτοῦ τὸ μυστήριον μή τινι λεγέτω μήτε τῷ ἡλίῳ.

Ἡμέρα ζ' <τῆς σελήνης>.

Ἀπόλλων ἐγεννήθη ἐκ Διός· Κάϊν τὸν ἴδιον ἀδελφὸν ἐφόνευσεν. αὕτη ἡμέρα χαλεπὴ καὶ ἐπικίνδυνός ἐστιν· εἰς ὁδὸν μὴ ἐπιχείρησαι, κεφαλήν σου μὴ κουρεύσῃς, μήτε σπείρῃς, μήτε παντοῖον φυτὸν φυτεύσῃς. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον οὐχ εὑρεθήσονται. τὰ γεννώμενα ἐπίνοσα καὶ ἐπικίνδυνα καὶ δύστυχα καὶ ὀλιγοχρόνια ἔσονται. ὁ ἀρξάμενος νοσεῖν ταχέως τελευτήσει. ἐὰν δέ τις ὄνειρον ἴδῃ, μετὰ χρόνον ἀποβήσεται, μέντοι γε χαλεπόν ἐστιν.

3 τῶν ἁγίων cod., τοῖς ἁγίοις scripsimus (et sic ubique). Cf. 35, 24 s. 4 κτίζεσθαι cod., κτήσασθαι scripsimus (et sic ubique). 6 ὀλιγοζώητα vix sanum. 10 cod. ἑρμηνία. An Ἑρμῆς? (Kroll). 11 ὀρθὴ cod.; corr. Kroll, cf. Gen. IV, 4. 11-12 Cf. 37, 16-18. 12 στρατία cod., στρατείαν scripsimus. 15 πολλὰ κολασθήσεται = multis incommodis afficietur? 18 cod. ἀρτέμης. cod. νεβρώθ. 19 cod. ἐπιχειρίσαι. 20 δοξεύειν cod., τοξεύειν scripsimus. 21 σορευθήσονται cod., εὑρεθήσονται scripsimus (et sic alias). 22 εὐτυχεῖ cod., ἀτυχῆ scripsimus. 24 Cf. Soph. *El.* 424; Eurip. *Iph. Taur* 43 (Kroll). 26 ἐφόνευσαι cod., ἐφόνευσεν scripsimus. 27 ἐπιχειρισαι cod., ἐπιχείρησαι scripsimus. Num ἐπιχειρήσῃς? 30 ἐπίμωσα cod., ἐπίνοσα scripsimus. Cf. 36, 16. cod. δίστιχα.

Ἡμέρα η' <τῆς> σελήνης.

Ποσειδῶν ἐγεννήθη· Μαθουσάλα ἐγεννήθη. αὕτη ἡμέρα καλὴ καὶ ἀγαθή ἐστιν ἀγοράσαι, πωλῆσαι, σπείρειν, φυτεύειν καὶ εἰς πᾶν πρᾶγμα καὶ ἔργον ἐπιμελεῖσθαι· εὐχὰς καὶ προσφορὰς προσφέρειν τῷ θεῷ καὶ τοῖς ἁγίοις, καὶ εἰς παντοῖον κάματον ἐπιχειρῆσαι· δούλους καὶ ζῷα καὶ βόας δαμάζειν· πλέειν τε καὶ ἀποδημεῖν. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον εὑρεθήσονται· τὰ γεννώμενα εὐθαλῆ καὶ τρόφιμα καὶ ζῳτικὰ καὶ εὔτυχα καὶ εὐπαράβολα καὶ καματηρὰ ἔσονται. ὁ ἀρξάμενος νοσεῖν ταχέως ὑγιαίνει. ἐὰν δέ τις ὄνειρον ἴδῃ, ψευδής ἐστιν.

Ἡμέρα θ' <τῆς> σελήνης.

Χάριτα ἐγεννήθη· Λάμεχ ἐγεννήθη. αὕτη ἡμέρα οὔτε καλὴ οὔτε κακή, ἀλλ' ἕκαστος ποιήσει μετὰ προσευχῆς. δούλους καὶ ζῷα καὶ βόας καὶ πᾶν κτῆνος μὴ ἀγοράσῃς. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον μόλις εὑρεθήσονται. τὰ γεννώμενα μεσοφανῆ ἔσονται. ὁ ἀρξάμενος νοσεῖν πολλὰ κινδυνεύσει καὶ οὔτε τοῦ θανάτου οὔτε τῆς ζωῆς <τεύξεται>. ἐὰν δέ τις ὄνειρον ἴδῃ, ἔσται αὐθήμερον, μέντοι γε θλιβερόν ἐστιν.

Ἡμέρα ι' <τῆς> σελήνης.

Πλοῦτος ἐγεννήθη· Νῶε ἐγεννήθη. αὕτη ἡμέρα καλὴ καὶ ἀγαθή ἐστιν εἰς πάντα πρᾶξαι, ἀγοράσαι, πωλῆσαι, σπείρειν, φυτεύειν, κλαδεύειν, γεωργεῖν, ἀποδημεῖν, σώματα ὠνεῖσθαι, κτήνη δαμάζειν, παῖδας εἰς μάθησιν παραδιδεῖν. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον ἀποστραφήσεται. τὰ γεννώμενα εὐθαλῆ καὶ εὐτυχῆ καὶ εὐπαράβολα καὶ καματηρὰ καὶ ζῳτικὰ ἔσονται. ὁ ἀρξάμενος νοσεῖν ταχέως ὑγιαίνει. ἐὰν δέ τις ὄνειρον ἴδῃ, ψευδής ἐστιν.

Ἡμέρα ια' <τῆς> σελήνης.

Μνημοσύνη ἐγεννήθη ἐκ Κρόνου καὶ Ῥέας· Σὴμ ἐγεννήθη. αὕτη ἡμέρα καλὴ καὶ ἀγαθή ἐστιν εἰς πᾶσαν ποίησιν, ἀγοράσαι, πωλῆσαι, σπείρειν, φυτεύειν καρποὺς καὶ οἴνους διαχύνειν, καὶ εἴ τίς <τι> θέλει πρᾶξαι, εὐτυχῶς πράττει· πλεῦσαι, γαμῆσαι, πραγματεύσασθαι, ἁρπαγὴν ποιεῖν καὶ σωροὺς ποιεῖν, θεμελίους ὀρύσσειν, παῖδας εἰς μαθησίαν παραδιδόναι. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον μόλις εὑρεθήσεται. τὰ

2 cod. ποσιδῶν. 3 cod. πραγμαν. 4 cod. ἔργων. 5 cod. ἐπιχειρήσι. 7 cod. τρόφημα (et sic ubique). ζωητικὰ cod., ζῳτικὰ scripsimus (et sic ubique). 9 ψευδή cod., ψευδής scripsimus (et sic infra). 11 Χάριτα pro Χάρις dictum est. 11 s. Cf. 39, 11 s. 12 καλὴ cod. iterum, κακή scripsimus. 13 cod. κτίνος. 14 Cf. 37, 1 s. 16 cod. θληβερόν. 18 An legendum Πλούτων? cf. tricesimum diem (Cumont). 19 πρᾶξιν cod., πρᾶξαι scripsimus. 20 cod. κτίνη. 22 εὐτυχεῖα cod., εὐτυχῆ scripsimus. cod. καματερᾶ (et sic ubique). 22-24 cum 7-9 conspirant. 28 Cf. 32, 13; 36, 23; 37, 26; 39, 5 s. 29 πρέξαι cod., πρᾶξαι scripsimus. cod. ἁρπαγεῖν. 30 cod. ὠρύγειν. μαθησίαν cod., sed cf. supra v. 21 et infra 36, 24 (Cumont).

γεννώμενα καλότυχα καὶ εὐπαράβολα καὶ νοητικὰ ἔσονται. ὁ ἀρξάμενος νοσεῖν ταχέως ὑγιαίνει· ἐὰν δέ τις ὄνειρον ἴδῃ ..., μέντοι γε καλόν ἐστιν.

Ἡμέρα ιβ' <τῆς> σελήνης.

Δικαιοσύνη ἐγεννήθη· Χὰμ ἐγεννήθη, ὅθεν ἡ δολία ἐγένετο. αὕτη ἡμέρα παρατηρήσιμός ἐστι μὴ ἀγοράσαι, παντοῖον πρᾶγμα ἐπεὶ κλέπτεται διότι ὀρθῶς οὐκ ἐδούλευσε τῷ κυρίῳ αὐτοῦ· εἰς τρύγον δὲ χεῖραν ἐμβαλεῖν καλόν ἐστιν. δοῦλον ἐὰν ἀγοράσῃς, φεύξεται ἀπὸ σοῦ καὶ ἀπολεῖς αὐτόν. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον οὐχ εὑρεθήσονται. τὰ γεννώμενα δύστροφα καὶ κακοποίητα καὶ βαρύθυμα καὶ ὀλιγοκάματα. ὁ ἀρξάμενος νοσεῖν πολλὰ κινδυνεύσει. ἐὰν δέ τις ὄνειρον ἴδῃ, γίνεται τῇ αὐτῇ ἡμέρᾳ, μέντοι γε κατὰ τὴν θεωρίαν σου φανεροῦται τὸ ὁραθὲν ὕπνιον.

Ἡμέρα ιγ' <τῆς> σελήνης.

Διόνυσος ἐγεννήθη. Ἡ ἄμπελος ἐφυτεύθη ὑπὸ τοῦ Νῶε. αὕτη ἡμέρα καλὴ καὶ ἀγαθή ἐστιν ἀμπέλια φυτεύειν, κλαδεύειν, δένδρα πῆξαι· εἰς γάμον δὲ κακή ἐστι καὶ μακροδίαν ὁδεῦσαι. ὁ φυγὼν μεθύσας κρατηθήσεται. τὰ γεννώμενα μέθυσα καὶ ἐπιμανῆ ἔσονται καὶ ἐπιλοίδορα. ὁ ἀρξάμενος νοσεῖν τελευτήσει. ἐὰν δέ τις ὄνειρον ἴδῃ, γίνεται μετὰ ἡμέρας β' ἢ δ'· ἔρεις δὲ καὶ μάχας ἔχει, μέντοι γε οὐδὲν ἰσχύει.

Ἡμέρα ιδ' <τῆς> σελήνης.

Ἐλπὶς καὶ Ἔννοια ἐγεννήθη· Νῶε εὐλόγησε τὸν Σήμ. αὕτη ἡμέρα καλὴ καὶ ἀγαθή ἐστιν εὐχὰς καὶ προσφορὰς προσφέρειν τῷ θεῷ καὶ τοῖς ἁγίοις, καὶ εἰς παντοῖον κάματον ἐπιχειρῆσαι. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον εὑρεθήσεται. τὰ γεννώμενα εὔτυχα καὶ εὐχάριστα καὶ ἀληθινὰ καὶ εὐπαράβολα καὶ καματηρὰ ἔσονται. ὁ ἀρξάμενος νοσεῖν ταχέως ὑγιαίνει. ἐὰν δέ τις ὄνειρον ἴδῃ, γίνεται μετὰ ἡμέρας η', μέντοι γε ἐνέργειαν ἔχει.

Ἡμέρα ιε' <τῆς> σελήνης.

Ἥφαιστος ἐγεννήθη· αἱ γλῶσσαι τῶν οἰκοδομούντων τὸν πύργον ἐν Βαβυλῶνι διηλλάγησαν. αὕτη ἡμέρα καλὴ καὶ ἀγαθή ἐστι καμίνους σκευάσαι, φραγμοὺς πῆξαι καὶ θεμελίους, διαθήκας καὶ προῖκας γράφειν, τὰ γεώργια παραστέλλεσθαι. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον ἐν ὄρεσι καὶ νάπαις εὑρεθήσονται. τὰ γεννώμενα ἀργὰ καὶ εἰς ὁμιλίαν.

2 post ἴδῃ sine dubio exstat lacuna. 5 cod. δολήα. 6-7 ἐπεικλέπτεται· διατί cod., ἐπεὶ κλέπτεται διότι scripsimus. 9 cod. ἀπόλλεις. 15 cod. διονύσιος. 17 κακὸν cod., κακή scripsimus. 17-19 Cf. 36, 6-8 et 39, 6-8. 20 s. Cf. 38, 11. 23-25 Cf. supra 33, 2-4 et infra 36, 4-6; 37, 6-8. 27 cod. ἀληθηνᾶ. 31 cod. ὕφεστος. 34 Num τὰ γεωργικά? Cf. 38, 22.

ὁ ἀρξάμενος νοσεῖν πολλὰ κινδυνεύσας ὑγιαίνει. ἐὰν δέ τις ὄνειρον ἴδῃ, μετὰ πολὺν χρόνον γενήσεται ἢ τῷ αὐτῷ ἐνιαυτῷ ἢ μετ' ἄλλον ἐνιαυτόν.

Ἡμέρα ις' <τῆς> σελήνης.

Διόσκορος ἐγεννήθη· Ναχὼρ ἐγεννήθη. αὕτη ἡμέρα καλὴ καὶ ἀγαθή ἐστιν ἀγοράσαι, πωλῆσαι, εὐχὰς ποιεῖν καὶ προσφορὰς προσφέρειν τῷ θεῷ καὶ τοῖς ἁγίοις καὶ εἰς παντοῖον κάματον ἐπιχειρῆσαι. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον ὑπὸ στρατιωτῶν κρατηθήσεται. τὰ γεννώμενα μέθυσα καὶ ἐπιλοίδορα ἔσονται. ὁ ἀρξάμενος νοσεῖν ταχὺ ἀναστήσεται. ἐὰν δέ τις ὄνειρον ἴδῃ, γίνεται μετὰ ἡμέρας β' ἢ μετὰ μῆνας β' ἢ μετὰ ἐνιαυτοὺς β'.

Ἡμέρα ιζ' <τῆς> σελήνης.

Ὕπνος καὶ Θάνατος ἐγεννήθησαν· Σόδομα καὶ Γόμορρα κατεστράφησαν. αὕτη ἡμέρα χαλεπὴ καὶ ἐπικίνδυνός ἐστιν· εἰς ὁδὸν μὴ ἐξέλθῃς, εἰς πρᾶγμα μὴ ἐπιχειρήσῃς. ταύτῃ τῇ ἡμέρᾳ φυλάττου ἀπὸ παντὸς πράγματος. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον κρατηθήσεται. τὰ γεννώμενα ἐπίνοσα καὶ δύστυχα καὶ ἐπικίνδυνα καὶ ὀλιγοχρόνια ἔσονται. ὁ ἀρξάμενος νοσεῖν ταχέως τελευτήσει. ἐὰν δέ τις ὄνειρον ἴδῃ, γίνεται τῇ αὐτῇ ἡμέρᾳ καὶ ἄφθονον τηρηθήσεται, μέντοι γε χαλεπόν ἐστι καὶ εἰς ἄλλον ἀποβήσεται.

Ἡμέρα ιη' τῆς σελήνης.

Ἀλήθεια ἐγεννήθη· Ἰσαὰκ ἐγεννήθη. αὕτη ἡμέρα καλὴ καὶ ἀγαθή ἐστιν εὐχὰς καὶ προσφορὰς προσφέρειν τῷ θεῷ καὶ τοῖς ἁγίοις· καρποὺς καὶ οἴνους καὶ ἔλαιον διαχῦναι· εἰς θέρος ἐπιβάλλεσθαι, εἰς γάμον συμβάλλεσθαι, παῖδας εἰς μαθησίαν παραδιδόναι. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον εὑρεθήσεται. τὰ γεννώμενα εὐχάριστα καὶ ἀληθινὰ καὶ δυνατὰ καὶ εὐθαλῆ καὶ τρόφιμα. ὁ ἀρξάμενος νοσεῖν ταχέως ὑγιαίνει. ἐὰν δέ τις ὄνειρον ἴδῃ, γίνεται μεθ' ἡμέρας κ' <καὶ> ἐλπίδας ἀγαθὰς δηλοῖ.

Ἡμέρα ιθ' <τῆς σελήνης>.

Μωσῆς ἐγεννήθη· Ἰακὼβ ἐγεννήθη. αὕτη ἡμέρα καλὴ καὶ ἀγαθή ἐστι σπείρειν, φυτεύειν, κλαδεύειν· πλέειν κακόν ἐστιν. ἐὰν θέλῃς, πρᾶττε χωρὶς πλοὸς καὶ ἐκδημίας· ἀγωγοὺς ποιεῖν, καὶ ὕδατα ἄγειν καὶ

2 cod. τὸ αὐτὸ ἐνιαυτὸ. 4 An Διόσκοροι ἐγεννήθησαν? 4-5 Cf. 34, 26 s. 5 cod. ποιὴν. 10 ἐνιαυτοὺς ο' cod., ἐ. β' correximus. 12 cod. ὕπνοι καὶ θάνατοι. cod. σόδωμα καὶ γόμωρρα. 14 ἐπιχειρήσεις cod., ἐπιχειρήσῃς scripsimus. 15-19 Cf. 33, 29 ss. 19 Cf. 37, 4. 23 διάχυνε cod., διαχύναι scripsimus. Cf. supra 34, 28 et infra 37, 26. 25 σωρευθήσεται cod., εὑρεθήσεται scripsimus (et sic alias). 27 εὕρῃ cod., ἴδῃ scripsimus (et sic alias). 30 Μῶσης. An Μοῦσαι? (Cumont). 32 cod. πλωός.

φρέατα ὀρύσσειν· ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον σωθήσεται. τὰ γεννώμενα μεσοφανῆ καὶ προγνωστικὰ ἔσονται. ὁ ἀρξάμενος νοσεῖν μακρονοσίαν ἕξει πολλήν, ἐν ᾗ <ἔσθ'> ὅτε καὶ οὐ θεραπευθήσεται. ἐὰν δέ τις ὄνειρον ἴδῃ, γίνεται μετὰ ἡμέρας ι', μέντοι γε εἰς ἄλλον ἀποβήσεται.

Ἡμέρα κ' <τῆς σελήνης>.

Δημήτηρ ἐγεννήθη· Ἰσαὰκ εὐλόγησε τὸν Ἰακώβ. αὕτη ἡμέρα καλὴ καὶ ἀγαθή ἐστιν εὐχὰς καὶ προσφορὰς προσφέρειν τῷ θεῷ καὶ τοῖς ἁγίοις, καὶ εἰς παντοῖον κάματον ἐπιχειρῆσαι, σπείρειν, φυτεύειν, κλαδεύειν, θερίζειν, <εἰς> ἀγροὺς ἐπιμελεῖσθαι καὶ οἰκοδομεῖν, ἐπ' ὄρους ἀπέρχεσθαι, διαθήκας γράφειν, πράττειν ὃ βούλει, δέησιν ἐπιδιδεῖν εἰς ἄρχοντας· εἰς γάμον δὲ κακή ἐστιν. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον εἰς μύλον ἀπογηράσει. τὰ γεννώμενα τρόφιμα καὶ φιλόσοφα καὶ εὐχάριστα καὶ ἀληθινὰ καὶ ζωτικὰ ἔσονται· ὁ ἀρξάμενος νοσεῖν ταχέως ὑγιαίνει· ἐὰν δέ τις ὄνειρον ἴδῃ, ψευδής ἐστιν.

Ἡμέρα κα' <τῆς> σελήνης.

Κριανὸς ἐγεννήθη· Ἰσαὰκ εὐλόγησε τὸν Ἡσαῦ. αὕτη ἡμέρα παρατηρήσιμός ἐστιν εὐχὰς καὶ προσφορὰς μὴ προσφέρειν, μηδὲ εἰς μακροδίαν ὁδεύειν· χοίρους καὶ κριοὺς ἀποτέμνειν καλόν ἐστιν· ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον οὐχ εὑρεθήσονται. τὰ γεννώμενα ἀῤῥενικὰ ταχέως τελευτῶσι, τὰ δὲ θηλυκὰ ζωτικά, ἀλλ' ἐπικατάρατα ἔσονται. ὁ ἀρξάμενος νοσεῖν τελευτήσει. ἐὰν δέ τις ὄνειρον ἴδῃ, ἀληθής ἐστι καί σοι δηλοῖ τὰ μέλλοντα γενέσθαι.

Ἡμέρα κβ' <τῆς> σελήνης.

Νίκη ἐγεννήθη· Ἰωσὴφ ἐγεννήθη. αὕτη ἡμέρα καλὴ καὶ ἀγαθή ἐστιν ἄρχουσι μεγάλοις προσέρχεσθαι, καὶ εἰς παντοῖον πρᾶγμα ἐπιμελεῖσθαι, καὶ οἶνον καὶ ἔλαιον ἐπιχύνειν. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον εὑρεθήσονται. τὰ γεννώμενα εὐθαλῆ καὶ πάνσοφα καὶ εὔτυχα καὶ εἰς τιμὴν καλὴν προκόπτοντα ἔσονται. ὁ ἀρξάμενος νοσεῖν ταχέως ὑγιαίνει. ἐὰν δέ τις ὄνειρον ἴδῃ, γίνεται μετ' ἡμέρας ιβ', μέντοι γε χαρὰν δηλοῖ.

Ἡμέρα κγ' <τῆς σελήνης>.

Λητὼ ἐγεννήθη· Βενιαμὶν ἐγεννήθη. αὕτη ἡμέρα καλὴ καὶ ἀγαθή ἐστιν· σπείρειν, φυτεύειν, κλαδεύειν, δένδρα ἐμπῆξαι καλόν ἐστι. τὸ

1 φλετρὰ cod., φρέατα scripsimus. ὀρύγειν cod., ὀρύσσειν scripsimus (et sic alias). 1-2 Cf. 34, 14. 2 μεσοφάνεια cod., μεσοφανῆ scripsimus. 3 ἔξῃ cod.. ἕξει scripsimus. 6 cod. δημήτριος. 6-8 Cf. 35, 23-25. 9 ἐπόρους cod.; corr. Kroll, σπόρους ἀπάρχεσθαι = frugum primitias libare, Cumont. 11 κακὸν cod., κακή scripsimus. 12 cod. φηλόσοφα. 16 Κριανὸς idem ac Κρεῖος, unus ex Titanis? (Boll). Lege Κρόνος (Kroll). 18 cod. καὶ ante κριοὺς iteratum. 20 cod. θυλυκά. cod. ἔσονται ἀλλὰ delevimus ἔσονται. 21 ἀληθή cod., ἀληθής scripsimus (et sic infra). 25 προέρχεσθαι cod.; corr. Kroll. 31 λιτὼν cod., Λητὼ Boll.

ἀπολλύμενον οὐχ εὑρεθήσεται. τὰ γεννώμενα μεσοφανῆ καὶ γεωργικὰ καὶ εὔτυχα καὶ καματηρὰ ἔσονται. ὁ ἀρξάμενος νοσεῖν ταχέως ὑγιαίνει. καὶ τοῖς βουλομένοις γαμεῖν καλόν ἐστι. θεμελίους ἰθύνειν, οἴνους διαχύνειν, οἰκίας καθαίρειν καὶ σώματα ὠνεῖσθαι καὶ τετράποδα. ὁ φυγὼν ἐκτὸς ἥξει. ἐὰν δέ τις ὄνειρον ἴδῃ, ἀληθής ἐστιν.

Ἡμέρα κδʹ <τῆς σελήνης>.

Ἄρης ἐγεννήθη· Φαραὼ ἐγεννήθη. αὕτη ἡμέρα παρατηρήσιμός ἐστιν· εἰς ἔργον κακόν ἐστι. ταύτῃ τῇ ἡμέρᾳ ἀπὸ παντὸς πράγματος ἀπέχου. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον οὐχ εὑρεθήσονται. τὰ γεννώμενα ξίφῳ τελευτῶσιν. ὁ ἀρξάμενος νοσεῖν τελευτᾷ. ἐὰν δέ τις ὄνειρον ἴδῃ, ψευδής ἐστι, πλὴν ἔρεις καὶ μάχας ἔχει, μέντοι γε οὐδὲν ἰσχύει.

Ἡμέρα κεʹ <τῆς> σελήνης.

Ὑπερ<η>φάνεια ἐγεννήθη· τὸν δωδεκάλογον ἀπέστειλεν ὁ θεὸς τοῖς Αἰγυπτίοις διὰ Μωσέως. ταύτῃ τῇ ἡμέρᾳ ἀπέχου ἀπὸ πάσης ἐργασίας τῆς γῆς. ὁ ὀμόσας καὶ ἐπιορκήσας ἀπολάβῃ ἐν τάχει. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον κρατηθήσονται. τὰ γεννώμενα ἐπίνοσα. ὁ ἀρξάμενος νοσεῖν πολλὰ κινδυνεύσει. ἐὰν δέ τις ὄνειρον ἴδῃ, γίνεται μετὰ ἡμέραν μίαν, φόβον δὲ καὶ δειλίαν δηλοῖ.

Ἡμέρα κςʹ <τῆς> σελήνης.

Νύφα ἐγεννήθη· Μωσῆς τῇ ῥάβδῳ ἔσχισε τὴν θάλασσαν καὶ διήγαγε τοὺς Ἰσραηλίτας. αὕτη ἡμέρα καλὴ καὶ ἀγαθή ἐστι φρέατα ὀρύσσειν, τὰ δὲ γεωργικὰ παρασκέπεσθαι, ὅτι Φαραὼ ἐποντίσθη· γάμου ἀπέχου. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον εὑρεθήσεται. τὰ γεννώμενα εὐχάριστα καὶ ἀληθινά. ὁ ἀρξάμενος νοσεῖν ταχέως ὑγιαίνει. ἐὰν δέ τις ὄνειρον ἴδῃ, ἀληθής ἐστιν.

Ἡμέρα κζʹ <τῆς> σελήνης.

Ζεὺς ἐγεννήθη· τὸ μάννα ἔβρεξεν ὁ θεὸς τοῖς Ἰουδαίοις ἐν τῇ ἐρήμῳ. αὕτη ἡμέρα καλὴ καὶ ἀγαθή ἐστιν εἰς πᾶν πρᾶγμα καὶ εἰς πᾶν ἔργον, ἀγοράσαι, πωλῆσαι, σπείρειν, φυτεύειν, κλαδεύειν, θερίζειν, παῖδας εἰς μαθησίαν διδόναι, πλέειν καὶ γαμεῖν. ὁ φυγὼν ἀπὸ γυναικὸς παραδοθήσεται. τὸ ἀπολλύμενον εὑρεθήσεται. τὰ γεννώμενα καλότυχα καὶ τρόφιμα ἔσονται. ὁ ἀρξάμενος νοσεῖν ταχέως ὑγιαίνει. ἐὰν δέ τις ὄνειρον ἴδῃ, γίνεται τῇ αὐτῇ ἡμέρᾳ· οὐ μὴν καὶ εἰς χαρὰν ἀποβήσεται.

3 ἰθεῖν, ut videtur, cod., ἰθύνειν scripsimus. 4 cod. διαχύνην. Cf. 34, 28. 7 cod. ἄρις. 11 Cf. 35, 20 s. 13 τὴν cod., τὸν scripsimus. δωδεκάωληγον cod., δωδεκάλογον scripsimus. 14 cod. ἐγυπτίοις. παντὸς cod., πάσης scripsimus. 15 cod. ὠμώσας. 18 cod. φόβων. δηλίαν cod., δειλίαν scripsimus. 20 Νύμφαι (Cumont) sive Νίφα? (Boll). 22 παρασκέπεσθαι vix sanum. Num παραστέλλεσθαι? Cf. 35, 34. 28 s. Cf. 34, 26-28. 31 cod. καλώτυχα. 33 ὁ μὴν cod.; corr. Kroll. Cf. 32, 7.

Ἡμέρα κηʹ <τῆς σελήνης>.

Ἡμέρα ἐγεννήθη· τὸν βότρυν οἱ κατάσκοποι ἤνεγκαν πρὸς τὸν Ἰησοῦν τοῦ Ναυῆ. αὕτη ἡμέρα καλὴ καὶ ἀγαθή ἐστι χρεωστήματα ἀπαιτεῖν, τέκνα ἐγγαμίζειν, δούλους καὶ ζῷα καὶ βόας κτήσασθαι, παῖδας εἰς μαθησίαν παραδιδεῖν· καὶ πλέειν, καὶ μισθοῦσθαι, καὶ οἴνους διαχύνειν, ἀργύριον μὴ πιστεύειν. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον ἀπὸ μεθύσων κρατηθήσονται. τὰ γεννώμενα μέθυσα καὶ ἐπιλοίδορα καὶ ἐπιμανῆ. ὁ ἀρξάμενος νοσεῖν τελευτήσει. ἐὰν δέ τις ὄνειρον ἴδῃ, ψευδής ἐστιν.

Ἡμέρα κθʹ <τῆς> σελήνης.

Οἱ Ἰουδαῖοι εἰσῆλθον εἰς τὴν γῆν τῆς ἐπαγγελίας. αὕτη ἡμέρα οὔτε καλὴ οὔτε κακή ἐστιν, ἀλλ' ἕκαστος ποιείτω μετὰ προσευχῆς. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον οὐχ εὑρεθήσονται. τὸ γεννώμενον εὐφυές ἐστιν. τὸ φυγὸν εἰς τὴν ὁδὸν τελευτήσει. ὁ δεθεὶς διὰ γυναικὸς λυθήσεται. ὁ ἀρξάμενος νοσεῖν ὑγιαίνει. ἐὰν δέ τις ὄνειρον ἴδῃ, γίνεται τῇ αὐτῇ ἡμέρᾳ δείλης.

Ἡμέρα λʹ <τῆς σελήνης>.

Πλοῦτος καὶ Τύχη ἐγεννήθη· Σαμουὴλ ὁ προφήτης ἐγεννήθη. αὕτη ἡμέρα ἀποπληροφορημένη ἐστὶν εἰς πάντα· ἀγοράσαι, πωλῆσαι, σπείρειν, φυτεύειν, κλαδεύειν, δούλους καὶ ζῷα καὶ βόας κτήσασθαι, παῖδας εἰς μαθησίαν παραδιδεῖν. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον ἀφ' ἑαυτῶν ὑποστρέψουσι. τὰ γεννώμενα καλότυχα καὶ εὐπαράβολα ἔσονται. ὁ ἀρξάμενος νοσεῖν ταχέως ὑγιαίνει. ἐὰν δέ τις ὄνειρον ἴδῃ, καλόν ἐστιν· ὁ Πλοῦτος γὰρ καὶ ἡ Τύχη τῷ τριακοστῷ ἐγεννήθη.

Προγνωστικὸν περὶ ἀῤῥώστων· ψῆφος τῆς Σελήνης.

αʹ. Ἐὰν ἄρξωνται νοσεῖν ὅλον τὸν μῆνα νοσήσουσιν.
βʹ. Ὁ κατακλιθεὶς εἰς ὀλίγας ἡμέρας ἀναστήσεται.
γʹ. Ὁ κατακλιθεὶς ζήσεται μετὰ κόπου.
δʹ. Ὁ κατακλιθεὶς ἐγερθήσεται μετὰ κόπου.
εʹ. Ὁ κατακλιθεὶς κινδυνεύσει.
ςʹ. Ὁ κατακλιθεὶς οὐκ ἀῤῥωστήσει πολλά.
ζʹ. Ὁ κατακλιθεὶς μακρονοσήσει.
ηʹ. <Ὁ κατακλιθεὶς> ὀλίγας ἡμέρας νοσήσει.
θʹ. <Ὁ κατακλιθεὶς> σφοδρῶς νοσήσει.

2 Ἡμέρα. Post Iovem Ἥρα exspectes (Cumont). 5-6 in cod. verba καὶ πλέειν - μὴ πιστεύειν exstant post κρατηθήσονται. 6 διαχύνειν. Cf. 34, 28. 8 Cf. 35, 19. 12 An προσοχῆς? (Cumont), sed cf. 34, 12. 15 et 23 cod. ὄνηρον. 16 δήλης cod., δείλης scripsimus. 18 cod. τύχοι. 21 Cf. supra v. 5 et 34, 20 s.; 36, 24. 22 εαυτῷ cod., ἑαυτῶν scripsimus. 26 cod. ἄρξονται. cod. μήναν. 33 cod. νοσείσει.

ι'. Ὁ κατακλιθεὶς ταχέως ἐγείρεται.
[Deest ια'].
ιβ'. Ὁ κατακλιθεὶς ὀλίγον ἀῤῥωστήσει.
ιγ'. Ὁ κατακλιθεὶς μακρονοσήσει.
ιδ'. <Ὁ κατακλιθεὶς> μετέλθῃ τοῦ τόπου καὶ ὑγιαίνει.
ιε'. Ὁ κατακλιθεὶς ἀποθνήσκει.
ις'. <Ὁ κατακλιθεὶς> μετέλθῃ τοῦ τόπου καὶ ὑγιαίνει.
ιζ'. Ὁ κατακλιθεὶς μακρονοσήσει.
ιη'. <Ὁ κατακλιθεὶς> μετέλθῃ τοῦ τόπου καὶ ὑγιαίνει.
ιθ'. <Ὁ κατακλιθεὶς> ἀπὸ ἰατρῶν ἐπιμελείας ζήσεται.
κ'. Ὁ κατακλιθεὶς οὐκ ἀποθνήσκει.
κα'. Ὁ κατακλιθεὶς κινδυνεύσει.
κβ'. Ὁ κατακλιθεὶς οὐκ ἀποθνήσκει.
κγ'. Ὁ κατακλιθεὶς μακρονοσήσει.
κδ'. Ὁ κατακλιθεὶς μακρονοσήσει.
κε'. <Ὁ κατακλιθεὶς>, ἐὰν παρέλθῃ τὰς γ' ἡμέρας, ζήσεται.
κς'. <Ὁ κατακλιθεὶς> ὀλίγον ἀῤῥωστήσας τελευτᾷ.
κζ'. <Ὁ κατακλιθεὶς> οὐ πάνυ ἀῤῥωστήσει.
κη'. <Ὁ κατακλιθεὶς> μετελθὼν τοῦ τόπου ζῇ.
κθ'. <Ὁ κατακλιθεὶς> ἀπὸ <ἰατρῶν?> ἐπιμελείας ζήσεται.
λ'. <Ὁ κατακλιθεὶς> κἂν τρώγῃ κἂν μὴ τρώγῃ ζήσει.

Τῆς σελήνης αἱ ἡμέραι αἱ μέν εἰσι πεφωτισμέναι, αἱ δὲ ἀφώτιστοι· καὶ αἱ ἔχουσαι τὰ φῶτα εἰσὶν αὗται· α'· β'· γ'· ζ'· θ'· ι'· ια'· ιγ'· ιδ'· ις'· ιζ'· ιθ'· κ'· κβ'· κγ'· κς'· κη'· λ'· αἱ δὲ ἀφώτιστοι αὗται· δ'· ε'· ς'· η'· ιβ'· ιε'· ιη'· κα'· κδ'· κε'· κζ'· κθ'. ἐὰν οὖν κατακλιθῇ τις ἐν φῶς ἐχούσῃ ἡμέρᾳ, σωθήσεται καὶ ταχέως ἐγερθήσεται· ἐὰν δὲ ἐν ταῖς ἀφωτίστοις, τεθνήξεται. ὁμοίως θεωρεῖται καὶ ἐπὶ παιδίῳ γεννωμένῳ· τὰ γεννώμενα ἐν ταῖς ἐχούσαις φῶς ἐπίσημα καὶ εὐτυχῆ· τὰ δὲ γεννώμενα ἐν ταῖς ἀφωτίστοις ἀτυχῆ καὶ πτωχά.

3 cod. ὀλίγων. 5, 7 et 9 cod. Μετέλθει. 10 cod. ἰατρὸν. 11 cod. ἀποθνήσκη (et sic infra). 12 cod. κινδυνεύσῃ. 19 cod. τὸν τόπον, cf. supra vv. 5, 7 et 9. 21 cod. τρόγει. 27 cod. τεθνήξαται. 29 cod. αὐτυχῆ.

EXCERPTUM EX CODICE 17 (E 37 SUP.)

Formulae magicae.

F. 373v. Ἵνα τις ὑποκλιθῇ ἔν τινι πράγματι μὴ τυγχάνοντος.

Ποίησον εἴδωλα μικρὰ καὶ εἰς τὸ καθ' ἓν γράψον τὰ ὀνόματα δι' ὧν βούλει ἔσεσθαι καὶ τὰς χαρακτῆρας Ἡλίου καὶ τιθεὶς ὑποκάτω τῶν ποδῶν σου [καὶ] ὀνόμασον τὰ ὀνόματα τῶν ἀγγέλων Ἡλίου καὶ Κριοῦ· καὶ ἕξεις αὐτοὺς ἐν τῷ σῷ βουλήματι, καὶ ἔσονται ὑποκλινόμενοι θαυμασίως.

Ἵνα τις ἕξει φίλτρα ὑπό τινος καὶ καλλιέργειαν.

Ἐν τῇ ὥρᾳ τοῦ Ἡλίου, Σελήνης οὔσης ἐν Κριῷ, ποίησον εἰκόνα ἐν χρυσῷ, καὶ γράψον ἐν αὐτῇ ὄνομα οὗτινος χρήζεις καὶ τὰς χαρακτῆρας Κρόνου καὶ τὰ ὀνόματα ἀγγέλων Ἡλίου καὶ Κριοῦ, καὶ ὀνομάτισον καὶ ἐκεῖνον ἐν ᾧ θέλεις ἵνα ἀγαπᾶται ὑπὸ τοῦ δεῖνος καὶ εἰσβάσταζε.

Ἵνα ἄρχων ἢ ἀνὴρ ἐνυπνιασθῇ περιχαρῶς μετά σου.

Σελήνης οὔσης ἐν Λέοντι καὶ Ἡλίου ἐν Ὑδροχόῳ, ῥέξον εἴδωλον μετὰ κηροῦ ἐν τῷ ὀνόματι οὗτινος θέλεις ἐνυπνιᾶσθαι, καὶ λέξον τὴν ὑπόθεσιν ἐν ᾗ βούλει ἐνυπνιᾶσθαι καὶ τὸ ὄνομα αὐτοῦ καὶ τὰς χαρακτῆρας Ἑρμοῦ καὶ ὀνόματα ἀγγέλων Σελήνης καὶ Ἑρμοῦ.

Εἰς φίλτρον.

Ὅταν ἔσται Σελήνη ἐν τῷ Καρκίνῳ, ἐν τῇ ὥρᾳ Σελήνης ποίησον εἰκόνα μετὰ στανίου ἐν τῷ ὀνόματι οὗτινος χρήζεις ἔχειν, καὶ ὀνομάτιζε καθ' ἓν τῶν μελῶν, καὶ γράψον ἐν αὐτῇ τὸ ὄνομα ἧς θέλγεις καὶ τὰ

2 ὑποκληθεῖ cod., ὑποκλιθῇ scripsimus. Sed et cetera corrupta sunt. 4 cod. εἴδολα (et sic paene ubique). 5 χαρακτῆρας ubique cum articulo generis fem. 6 cod. ὀνόμασε. 10 ὄντι cod. (et sic paene ubique), οὔσης (vel ὄντος) scripsimus. εἰκόνας cod., εἰκόνα scripsimus. 13 cod. ὁ δεῖνος, delevimus ὁ. ἀς βαστάζεις cod., εἰσβάσταζε scripsimus (et sic alias). 14 cod. περὶ χαρὸς. 16 ἐνυπνιάσθω cod., ἐνυπνιᾶσθαι scripsimus. 18 cod. ἀγγέλον (et sic alias). 21 στάνιον vel potius στάννιον = stannum. cod. χρίζεις. 22 μέλλων cod.; corr. Cumont. Cf. Wessely, *Denkschr. Akad. Wien*, XXXVI, 1888, v. 322 s. (Kroll). θέλεις coni. Kroll; sed cf. 42, 16.

σημεῖα τῆς Ἀφροδίτης τοῦ Λέοντος, καὶ ἔγγισον ἀκμὴν καὶ <λέξον> τὰ ὀνόματα τῶν ἀγγέλων, ἤγουν Λέοντος Ἀφροδίτης καὶ Ἡλίου καὶ Ἄρεως.

Ἄλλον ἀποτέλεσμα.

Τοῦτο ἐστὶ θαυμασιώτατον· ὅστις βούλεται ἕξει εὐδοκίαν ἐν ἀνθρώποις· ἐν ὥρᾳ Σελήνης οὔσης ἐν Λέοντι ἢ ἐν Αἰγόκερῳ, εἰκόνιζε μίαν εἰκόνα μετὰ κηροῦ μὴ ἔχοντος μέλι ἐν τῷ ὀνόματι οὗτινος εὐδοκίαν χρήζεις καὶ γράψον ἐν αὐτῇ τὸ ὄνομά σου καὶ τὸ ὄνομα τῆς μητρὸς ἐκείνου τε καί σου, καὶ τὰ ὀνόματα τῶν ἀγγέλων Ἀφροδίτης καὶ Διὸς καὶ τὰ σημεῖα αὐτῶν, καὶ βάσταζε τὴν εἰκόνα μετά σου.

Ἀποτέλεσμα.

Ἐν ὥρᾳ Ἀφροδίτης, Σελήνης οὔσης ἐν Αἰγόκερῳ, ποίησον εἰκόνα μετὰ κηροῦ παρθένου ὁποίας χρήζεις, καὶ γράψον ἐν αὐτῇ τὸ ὄνομα αὐτῆς καὶ τὸ ὄνομα Λέοντος καὶ Ἀφροδίτης, καὶ τὰ σημεῖα τῆς Ἀφροδίτης καὶ βάνε νὰ ἀναλυγόνῃ εἰς τὴν ἑστίαν.

Ἀποτέλεσμα.

Ἵνα ἀλουχῆς ἧς θέλγεις μὴ δυνήσηται ἕτερος φὼς μιγῆναι εἰ μὴ σύ, καὶ περὶ σοῦ πάντοτε μνείαν ποιῆται, ποίησον μίαν εἰκόνα μετὰ κηροῦ παρθένου ἐν ὥρᾳ Ἀφροδίτης, οὔσης Σελήνης ἐν Αἰγόκερῳ, καὶ γράψον ἐν αὐτῇ τὰς ὀνομασίας καὶ σημεῖα Διὸς καὶ Ἄρεως σημεῖον καὶ Ἀφροδίτης ὀνομασίαν καὶ φύλαξον τὴν εἰκόνα.

Ἀποτέλεσμα.

Λάβε χάρτην βαμβάκινον καὶ γράψον ἐν αὐτῷ τὰς χαρακτῆρας Ἀφροδίτης καὶ Διὸς καὶ Ὑδροχόου καὶ τὸ ὄνομα δι' οὗ ποιεῖς καὶ τὰ ὀνόματα τῶν ἀγγέλων, καὶ ποίησον τὸν αὐτὸν χάρτην στυππεῖον, καὶ μετὰ κηροῦ παρθένον ποίησον † κερήν, <καὶ> ταῦτα πάντα ποίησον εἰς ὥραν Ἀφροδίτης, Σελήνης οὔσης ἐν Αἰγόκερῳ, καὶ γράψον τὰ ὀνόματα Ἀφροδίτης καὶ Σελήνης Αἰγόκερῳ, καὶ τὰ σημεῖα Ἀφροδίτης καὶ Διὸς καὶ κεφαλὴν Ὑδροχόου· καὶ τὸ βράδυ ὅταν ὑπάγεις κοιμηθῆναι, ἅψον τὸν κηρὸν καὶ ἴδῃς καὶ θαυμάσῃς.

1 cod. ἔγγυσον. 5 i. e. ἐν ὥρᾳ Σελήνης, Σελήνης οὔσης. εἰκονόμισε cod., εἰκόνιζε dubitanter scripsimus. Malim οἰκονόμησαι (Cumont). 7 cod. χρίζης. 9 αὐτὸν cod. (αὐτ''), αὐτῶν scripsimus. 14 cod. ἀναλυγώνει, i. e. « colloca ut flectatur » (λυγῶ). Cumont. ϊστία cod., ἑστίαν scripsimus. 16 ἀλουχῆς pro ἀλόχῳ dictum esse videtur (Cumont). δυνήσετε cod., δυνήσηται scripsimus. cod. ἕτερον. 20 νουμασίαν cod., ὀνομασίαν scripsimus. 22 cod. πὰμπάκϊνον. 24 ποιῆσε cod., ποίησον scripsimus. cod. τὸ αὐτὸ. cod. στυπεῖον. κήρον cod., κηροῦ scripsimus. 24-25 Num <παρθένου> παρθένον? 27 κεφαλῆ cod., κεφαλὴν scripsimus. 28 βραδὺν cod., τὸ βράδυ = vesperi. 29 cod. ἴδεις (et sic alias).

Ἀποτέλεσμα.

Ἐν ὥρᾳ Ἀφροδίτης, οὔσης Σελήνης ἐν Κριῷ, γράψον εἰς λάμαν σιδηρᾶν μετὰ σιδηροῦ στύλου τὰς χαρακτῆρας Ἀφροδίτης καὶ Κρόνου καὶ Κριοῦ καὶ τὰς ὀνομασίας Ἀφροδίτης, Κρόνου καὶ Κριοῦ, καὶ τὸ ὄνομα ἧς θέλγεις, καὶ τὰ ὀνόματα πατρὸς καὶ μητρός, καὶ πύρωνε ἐν τῷ πυρί.

Ἀποτέλεσμα.

Ἵνα ἔσῃ εὐπρόσδεκτος καὶ εὐτυχὴς τοῖς ἐν κόσμῳ οὖσι, γράψον εἰκόνα ἔν τινι μετὰ τοῦ ἰδίου βρότου εἰς ὥραν Σελήνης, οὔσης αὐτῆς εἰς ζῴδιον Κριοῦ, καὶ τὰς χαρακτῆρας Ταύρου καὶ κεφαλῆς Ὑδροχόου καὶ τὰ β' αὐτοῦ σημεῖα καὶ τὰς ὀνομασίας ἀγγέλων Ἑρμοῦ καὶ βάσταζε μετὰ σοῦ.

Ἀποτέλεσμα.

Ὅταν γε βούλει μαθεῖν ἐάν τις σπεύδει σε ἢ [οὖ] ὅταν οὐ σπεύδει σέ τις, ξύσον τὰς χαρακτῆρας μετὰ Κρόνου Διὸς καὶ Σελήνης καὶ τὰ ὀνόματα τῶν ἀγγέλων Κριοῦ καὶ Ἀφροδίτης, καὶ βάλε ὑποκάτω <τοῦ> προσκεφάλου σου, καὶ ἴδῃς θαυμάσια.

Ἀποτέλεσμα.

Εἰς ὥραν Διός, Σελήνης οὔσης πρώτῃ κεραίᾳ ἐν Διδύμοις ἢ ἐν Κρόνῳ, ποίησον μίαν ὑμάγεινε <*sic*> ἐν τῷ ὀνόματι οὗτινος χρήζεις μαθεῖν κρύφια καὶ γράψον ἄνωθεν εἰς αὐτὴν τὸ ὄνομα αὐτοῦ καὶ τὰς χαρακτῆρας Διδύμων καὶ ἀγγέλων Διὸς καὶ χαρακτῆρας Σελήνης καὶ θὲς ὑπὸ τὰ προσκέφαλα αὐτοῦ, καὶ ἐρώτα· ἢ ὑπὸ τὸ σὸν προσκέφαλον καὶ ἴδῃς.

Ἵνα φανῇς ὡραῖος καὶ ἀρεσκόμενος ὑπό τινος οἵου θέλγεις ὑπὲρ πάντα τῶν ἐν κόσμῳ.

Ποίησον μίαν εἰκόνα εἰς χάρτην παρθένον μετὰ κρόκου ἐν τῇ ὥρᾳ τοῦ Διός, καὶ ἄλλην μίαν μετὰ κάρβουνα δάφνης εἰς ὥραν Ἀφροδίτης, καὶ εἰς τὴν εἰκόνα τὴν μετὰ κρόκου γράψον τὰς χαρακτῆρας Σελήνης καὶ Ὑδροχόου, τῆς δὲ ἑτέρας μετὰ τῶν καρβούνων γράψον τὰς χαρακτῆρας Αἰγοκέρωτος καὶ τὰ ὀνόματα Καρκίνου καὶ Διὸς ἔνθα τυγχάνουσιν.

4 νουμασίας cod., ὀνομασίας scripsimus (et sic alias). 8 τῆς ... οὔσῃ cod., τοῖς ... οὖσι scripsimus. 9 cod. εἰκόναν. 19 ᾱ' κερέα cod., πρώτῃ κεραίᾳ scripsimus. 20 ὑμάγεινε = imaginem. 22 ἀγγέλους cod., ἀγγέλων scripsimus. in cod. post ☾ καὶ iterata verba καὶ ἀγγέλων (sc. ἀγγέλους) ♑ καὶ quae delevimus. 23 τῶν σῶν πρὸς κεφάλων cod., τὸ σὸν προσκέφαλον scripsimus. Cf. τὰ προσκέφαλα. 27 παρθένον i. e. sine macula; cf. infra 45, 22 et 29. 30 τῆς ... ἑτέρας genit. pro dat. (Cumont).

Ἀποτέλεσμα.

Τῆς Σελήνης οὔσης ἐν Κριῷ ἐν ὥρᾳ Ἡλίου, ποίησον μίαν εἰκόνα χρυσῆν καὶ γράψον ἐν αὐτῇ ὄνομα κυρίου ἢ κυρίας δι' οὗ βούλει φιληθῆναι σε, καὶ γράψον καὶ τὰς χαρακτῆρας Κρόνου καὶ τὰ ὀνόματα <τῶν> ἀγγέλων Ἡλίου καὶ τὰ ὀνόματα τῶν ἀγγέλων Κριοῦ.

Ἀποτέλεσμα.

Ἐν Ταύρῳ οὔσης Σελήνης τῇ πρώτῃ ἡμέρᾳ καὶ κεραίᾳ πρόσω τῶν Διδύμων, ποίησον δύο εἰκόνας μετὰ κηροῦ παρθένου εἰς ὀνόματα δι' οὗ βούλει φίλτρον πρᾶξαι ἤγουν ἀνδρὸς καὶ ἀλοχίδος, καὶ γράψον τὰς χαρακτῆρας Διδύμων, καὶ τὰ ὀνόματα Ἀφροδίτης καὶ Ταύρου ἐν αὐταῖς καὶ μίγνυε ἀγγέλων τὰ πρόσωπα, καὶ χῶσον ἔνθα εἰς σὲ βαίνουσιν.

Ἀποτέλεσμα.

Ἐν ὥρᾳ Ἡλίου ὄντος ἐν Λέοντι, ποίησον εἰκόνα χρυσῆν καὶ γράψον ἐν αὐτῇ τὸ ὄνομα δι' οὗ βούλει κλέος ἔξειν καὶ βάστα ἐν τῷ ἰδίῳ στέρνῳ· ἄνωθεν δὲ ἐν τῇ εἰκόνι γράψον <τὰς> χαρακτῆρας Κρόνου καὶ ἄλλους αὐτοῦ ὁμοίως.

Ἀποτέλεσμα.

Ἵνα ὑποκλίνηταί σοι πᾶς ἐχθρὸς καὶ ἐν τῇ πόλει οὔτις ἀντίδικος καὶ ἄγριος ἄνθρωπος καὶ προδότης <σου γένηται>· ποίησον εἰκόνα σοῦ μετὰ χρυσοῦ ἐν ὥρᾳ ..., Ἡλίου ἐν Λέοντι καὶ Σελήνης ἐν Κριῷ, καὶ <γράψον ἐν αὐτῇ> τὰ ὀνόματα τῶν ἀγγέλων Ἡλίου καὶ Λέοντος, καὶ βάσταζε <μετὰ σου>.

Ἵνα ἔξει τις τύχην.

Ποίησον τὴν εἰκόνα σου μετὰ πηλοῦ ἐν ὥρᾳ τοῦ Ἄρεως, Σελήνης <οὔσης> ἐν Τοξότῃ, καὶ <γράψον ἐν αὐτῇ> τὰς χαρακτῆρας <τοῦ> Σκορπίου καὶ τὰ ὀνόματα ἀγγέλων Κρόνου, καὶ χῶσον ἐν τῇ φλιᾷ τοῦ σοῦ δώματος.

Ἵνα δῶμος τις ἔσται εὐτυχὴς πωλεῖν καὶ ἀγοράζειν.

Ποίησον εἴδωλον μετὰ μολύβδου ἐν ὥρᾳ Ἡλίου, Σελήνης οὔσης..., καὶ γράψον ἐν αὐτῷ <τὰς> χαρακτῆρας Σελήνης καὶ ὀνόματα ἀγγέλων Ἡλίου καὶ Σελήνης, καὶ χῶσον μέσον τῆς οἰκείας.

3 φιλισθῆναι cod., φιληθῆναι scripsimus. 7 κερέας cod., κεραίᾳ scripsimus. προσώπου cod., πρόσω τῶν dubitanter scripsimus. 9 cod. ἀνέρος. ἀλουχίδος cod., ἀλοχίδος scripsimus (et sic infra). 10 αὐτὰς cod., αὐταῖς scripsimus. 11 εἰ σὲ βένουσι cod., εἰς σὲ βαίνουσιν scripsimus. 13 i. e. ἐν ὥρᾳ Ἡλίου, Ἡλίου ὄντος. 14 βάστα (a βαστῶ) = βάσταζε (Cumont). 15 cod. ὅμοιος. 18 cod. ὑποκλίνεται. 23 ἔξη cod., ἔξει scripsimus (et sic infra). 25 cod., post χαρακτῆρας, λαχ^{ου} In margine σκορπίου. 26 cod. φληᾶ. 27 δώγματος cod., δώματος scripsimus. 28 cod. ἔσεται (et sic alias). cod. πουλεῖν. 29 lacunam significavi. 30 cod, ante καὶ γράψον, ἐν τι τ^{ου} σῃ τον ἀερικῶν. αὐτῇ cod., αὐτῷ scripsimus (et sic infra).

Περὶ ἀλοχίδος.

Ἐν ὥρᾳ Ἀφροδίτης, Σελήνης <οὔσης ἐν> Αἰγόκερῳ, ποίησον εἴδωλον δι' ὀνόματος οὗτινος χρῄζεις, καὶ γράψον ἐν αὐτῷ τὸ ὄνομά σου καὶ τὰς χαρακτῆρας Ἀφροδίτης καὶ ὀνόματα ἀγγέλων Λέοντος καὶ Ἀφροδίτης, καὶ πύρωνε ἐν φλογί.

Ὅπως πατὴρ ὑποκλίνῃ υἱόν.

Ἡλίου ὄντος ἐν Παρθένῳ, Σελήνης <οὔσης> ἐν Αἰγόκερῳ ὥρᾳ Ἄρεως, ποίησον β' εἰκόνας μολυβδίνας καὶ γράψον <ἐν αὐταῖς> τὰ ὀνόματα τῶν β' καὶ εἰς τὸ καθ' ἓν γράψον τὰς χαρακτῆρας τῆς οὐρᾶς τοῦ Δράκοντος, Ἄρεως, Κρόνου καὶ τὰ ὀνόματα ἀγγέλων Ἄρεως, Σελήνης καὶ Ταύρου, καὶ ἔγγισον αὐτούς· ἔπειτα χῶσον εἰς τόπον ἔνθα οἰκοῦσιν.

Πρὸς τὸ ἔξειν εὐδοκίαν ὑπό τινος· τοῦτο δὲ ἐστὶ θαυμαστὸν καὶ λίαν εὔχρηστον ὑπὸ τῶν ἐν κόσμῳ.

Ποίησον εἴδωλον μετὰ κηροῦ νέου ἐν τῷ ὀνόματι αὐτοῦ, Σελήνης οὔσης πρὸς τὸν πλανήτην δι' οὗ ποιεῖς καὶ εἰς τὴν ὥραν τὴν κυριεύουσαν ἐν τῷ ἑαυτοῦ πλανήτῃ † καιροῦ, Ἡλίου ὄντος ἐν Κριῷ ἢ ἐν Αἰγόκερῳ, καὶ γράψον τὸ ὄνομα αὐτοῦ πατρὸς καὶ μητρός, καὶ γράψον τὰ ὀνόματα τοῦ πλανήτου αὐτοῦ καὶ τοῦ ἀστέρος αὐτοῦ καὶ τὰς χαρακτῆρας αὐτῶν, ἤγουν τὰς χαρακτῆρας Ἀφροδίτης καὶ Διός, καὶ φύλαξον.

Ἵνα ἔσῃ ἀρεσκόμενος ὑπὸ πάντων καὶ εὐτυχής.

Ποίησον τὴν εἰκόνα σου ἐν χαρτίῳ παρθένῳ εἰς ὥραν, Σελήνης οὔσης ἐν Κριῷ, καὶ <γράψον ἐν αὐτῇ> τὰς χαρακτῆρας Κριοῦ, καὶ ὅταν ἐστὶν ἐν τῷ Ταύρῳ τὰς χαρακτῆρας Ταύρου, καὶ τότε σύνθεσον εἰς ὄνομα πάντων πλανητῶν, καὶ γράψον καθ' ἑνὸς <τὰ> σημεῖα τῆς κεφαλῆς Ζυγοῦ καὶ τῆς οὐρᾶς Δράκοντος, καὶ λέξον τὰ ὀνόματα τῶν ἀγγέλων Σελήνης καὶ εἰσβάσταζε.

Ἵνα τις ἔσται διαλεκτικός.

Γράψον μετὰ χρυσοῦ στύλου εἰς χάρτην παρθένον <τὰς> χαρακτῆρας Διὸς καὶ Ἀφροδίτης, ἐν τῇ ὥρᾳ, Σελήνης οὔσης <ἐν> Κριῷ, καὶ τὰ ὀνόματα ἀγγέλων Σελήνης καὶ Ἀφροδίτης· καὶ ὅταν βούλῃ διαλεχθῆναι, κράτει ἐν τῇ χειρί σου.

6 cod. ὑποκλίνει. cod. υἱέαν. 9 τὸν cod., τὸ scripsimus. ἕνα cod., ἓν scripsimus. 11 cod. ἔγγυσον. 13 ἔξαι cod., ἔξειν scripsimus. 15 κήρονυαίου cod., κηροῦ νέου dubitanter scripsimus. 16 cod. πλανίτην (et sic infra). ὁ δὲ ποιῇς cod., δι' οὗ ποιεῖς scripsimus (cf. supra 42, 23). ὥραν ... καιρικήν? Cf. *Catal. Florent.*, p. 171, 6 (Cumont). 25 cod. ὄνομαν πάντον. An καθ' ἓν? 26 cod. δράκοντος καὶ τῆς οὐρᾶς. 27 βαστάζει cod., — βάσταζε scripsimus (quod ad εἰς — pertinet, cfr. supra 41, 13). 29 cod. παρθένων.

Ὅπως δύο μέροπες ἐν ὁμονοίᾳ <καὶ> φιλίᾳ ἔσονται.

Ἡλίου ὄντος ἐν Καρκίνῳ, Σελήνης δὲ ἐν Διδύμοις ἐν ὥρᾳ Ἀφροδίτης ῥέξον εἴδωλα δύο μετὰ κηροῦ ἐπ' ὀνόματος δι' ὧν βούλει ἐν ὁμονοίᾳ εἶναι, καὶ τὰς χαρακτῆρας Διδύμων καὶ Ἀφροδίτης καὶ τὰ ὀνόματα ἀγγέλων Ἀφροδίτης καὶ Ἑρμοῦ, καὶ τίθει εἰς τόπον ἔνθα στέκουσιν.

Ἵνα δόξαν ἕξεις ὑπὸ πάντων.

Ἡλίου ὄντος ἐν Λέοντι καὶ ἐν τῇ ὥρᾳ αὐτοῦ, ποίησον εἰκόνα μετὰ κηροῦ, καὶ γράψον ἐν αὐτῇ τὰ ὀνόματα πάντων δι' ὧν χρῄζεις δόξαν ἔχειν, καὶ τὰς χαρακτῆρας Κρόνου καὶ ὀνόματα ἀγγέλων Ἡλίου καὶ Κρόνου, καὶ βάστα ἐν τῷ σῷ στέρνῳ καὶ ἕξεις.

Ἵνα ἀλοχὶς μένῃ ἐγκρατὴς καὶ εὐγενὴς διὰ τοῦ πόσεως αὐτῆς.

Ποίησον εἴδωλον μετὰ κηροῦ παρθένου, ἐν τῇ ὥρᾳ τοῦ Ἑρμοῦ, Σελήνης ὑπαρχούσης ἐν Κριῷ, καὶ γράψον ἐν αὐτῷ <τὸ> ὄνομα ἀνδρὸς καὶ τὰς χαρακτῆρας Ζυγοῦ καὶ Ἑρμοῦ, καὶ τὰ ὀνόματα τῶν ἀγγέλων αὐτῶν, καὶ χῶσον πρὸς ἐμβασίαν αὐτῶν.

Ἵνα ἁλιεὺς ἁλιεύσῃ πλεῖστας ἰχθῦς.

Σελήνης οὔσης ἐν Καρκίνῳ, ὥρᾳ δὲ τῆς Σελήνης, ποίησον ἰχθὺν ἐν τῷ ὀνόματι τοῦ ἁλιέως καὶ γράψον τὰς χαρακτῆρας Σελήνης καὶ τὰ ὀνόματα ἀγγέλων Ὑδροχόου καὶ Ἰχθύων καὶ κάπνισον ἀκάνθας ἰχθύων καὶ εἰσβαστάζει ὁ ἁλιεὺς ὅταν ἁλιεύῃ.

Ἵνα ὑποκλίνῃς σὸν ἐναντίον.

Ἄρεως ὥρᾳ, Σελήνης <οὔσης> ἐν Λέοντι, ῥέξον εἴδωλα β' μετὰ κηροῦ ἁγιασμένου ἐκείνου, καὶ βάλλε εἰς αὐτὰ σίδηρον εἰς τὴν κεφαλὴν * καὶ ἡ δική σου ας ἔνι μεγαλοτρ' * καὶ γράψον τὰ ὀνόματα πατρὸς καὶ μητρὸς σοῦ, καὶ τὰς χαρακτῆρας Ἄρεως καὶ Διός, καὶ ἐπὶ τοῦ ἀντιδίκου τῆς εἰκόνος γράψον τὸ ὄνομα τοῦ αὐτοῦ καὶ τῆς μητρός του, καὶ τὰς χαρακτῆρας Σελήνης <καὶ> Κρόνου καὶ τὰ ὀνόματα Λέοντος καὶ Τοξότου· καὶ χῶσον ἔνθα εἰσίν, καὶ ἔλθῃ εἰς ὑπόκλισιν ὁ ἀντίδικος.

Τέλος τῶν παρόντων ἀποτελεσμάτων.

7 cod. εἰκόναν. 10 βάστα, cf. supra 44, 14. 11 cod. ἀλουχῆς, cf. supra 44, 9; 45, 1. μένει cod., μένῃ scripsimus. 17 cod. ἁλϊῆς. 20 cod. ὑδροχόου ♒. 21 Num εἰσβαστάσει? 24 αὐτὴν cod., αὐτὰ dubitanter scripsimus. 25 Quid sibi velint verba καὶ ἡ sqq. non intelleximus. 27 τὴν εἰκόνα cod., τῆς εἰκόνος scripsimus. 27 του = αὐτοῦ. 29 ὑπόκλησιν cod., ὑπόκλισιν scripsimus. 30 μπαρῶν· cod., παρόντων scripsimus.

EXCERPTA EX CODICE 19 (E 81 sup.)

F. 307. Περὶ σημείων ἀστέρων.

Ἐὰν ἀστὴρ ἁπλωθῇ ἐν οὐρανῷ ἀπὸ ἀνατολῆς εἰς δύσιν καὶ ὡς... φανῇ οὐ καὶ μερίζεται, τὰ γεννηθέντα ὑπὸ τῶν θηρίων τῷ ἐνιαυτῷ ἐκείνῳ ζήσουσι, καὶ καρποὶ πληθυνοῦνται, καὶ τὰ ἔρημα πόλεις καὶ χωρία οἰκήσουσι, καὶ αἱ οἰκοῦσαι ἐρημωθήσονται· καὶ <οἱ> πένητες πλουτήσουσι, καὶ οἱ ἔχοντες ταπεινωθήσονται· καὶ βασιλεὺς τὴν ἑαυτοῦ πόλιν ἐρημώσει, καὶ τέσσαρες βασιλεῖς πόλεμον ποιήσουσι, καὶ βασιλεὺς βασιλέα φυγαδεύσει, καὶ τὴν βασιλείαν αὐτοῦ κυριεύει· καὶ βασιλεὺς Βαβυλῶνος τελευτήσει, καὶ τοὺς ἄρχοντας αὐτοῦ βασιλεὺς φονεύσει. καὶ πλούσιος ἐκ τοῦ πένητος ἀπαιτήσει, καὶ πόλις μία ἐρημωθήσεται, καὶ βασιλεὺς πιστὸς ἐν αὐτῇ εἰσελεύσεται καὶ βασιλεύσει ἐν αὐτῇ, καὶ πολλοὶ ἐν αὐτῇ τελευτήσουσι. καὶ τοῖς πένησιν ἀγαθὰ ἔλθῃ, καὶ οἱ δυνατοὶ ἀδυνατήσουσι. καὶ ἐὰν ἀστὴρ ἀπὸ δύσεως ἐπὶ ἀνατολὴν ἔλθῃ καὶ μέγας φανῇ, τῷ βασιλεῖ κακὰ ἔσται καὶ μετὰ ταῦτα ἀγαθά.

Καὶ ἐὰν ἐκ μεσημβρίας εἰς ἄρκτον ἁπλωθῇ <ἡ> Σελήνη <καὶ> ὡς πῦρ φανῇ, θανατικὸν ἔσται, καὶ ὁ βασιλεὺς εἰς ἄλλην χώραν εἰσέλθῃ· καὶ σκότος ἔσται, καὶ κλέπται φανήσονται, καὶ χώρα χώραν αἰχμαλωτεύσει. καὶ ἐὰν ἀπὸ ἄρκτου εἰς μεσημβρίαν ἁπλωθῇ, ὁ βασιλεὺς κακὰ ἴδῃ, καὶ γυναῖκες πολλαὶ τιτρώσκουσι, καὶ πατὴρ τέκνον φονεύσει, καὶ ἀδελφὸς ἀδελφόν. ταῦτα δὲ τρεῖς χρόνους γίνονται, καὶ μετὰ ταῦτα εἰρήνη καὶ ἀσφάλεια. καὶ ἐὰν ἀπὸ ἀνατολῆς εἰς δύσιν φανῇ, ἀῤῥωστία ἔσται, καὶ βασιλεῖς πολλοὶ Βαβυλῶνι <ἔσονται>· <καὶ> πάλιν ἐὰν ἀπὸ ἄρκτου εἰς μεσημβρίαν ἁπλωθῇ ἀστήρ, τὰ χωρία εἰς τὰς πόλεις εἰσέρχονται, καὶ φόνοι καὶ πραῖδαι ἔσονται.

Περὶ σημείων τόξου.

Ἐὰν ἀπριλλίῳ φανῇ τὸ τόξον ἐν οὐρανῷ, πόνος κακὸς ἐν λαῷ Περσῶν ἔσται, καὶ βροχὴ λείψει, καὶ ἐν τῇ γῇ τῇ δυτικῇ πόλεμοι ἔσονται σφοδροὶ καὶ μεγάλοι· καὶ βασιλεὺς ἐκ τῶν μεγιστάνων αὐτοῦ ἐπαναστήσεται, καὶ θλίψει αὐτούς. καὶ χειμὼν μέγας ἔσται καὶ ἡ βροχὴ λείψει.

2 Lac. signif. Kroll. Cf. v. 15; Lydus, *de ost.*, 17 s. 3 μερίζεται non intellegimus.

Ἐὰν μαΐῳ ὥρᾳ γ' <τὸ τόξον> φανῇ, θανατικὸν ἔσται βοῶν.

Ἐὰν ἰουνίῳ <τὸ τόξον> φανῇ, οἱ μεγάλοι τοῦ βασιλέως ἐν δόλῳ τελευτήσουσιν.

Ἐὰν ἰουλίῳ φανῇ τὸ τόξον, εἰς τὴν δύσιν πόλεμος μέγας.

Ἐὰν αὐγούστῳ φανῇ τὸ τόξον, ἀῤῥωστία μεγάλη γενήσεται.

Ἐὰν σεπτεμβρίῳ <τὸ τόξον> φανῇ, Πέρσαι καὶ Ἰνδοὶ κατ' ἀλλήλων πεσοῦνται καὶ Ἰνδοὶ νικήσουσιν.

Ἐὰν ὀκτωβρίῳ <τὸ τόξον> φανῇ, ἐν Ῥωμανίᾳ τρεῖς χρόνους θανατικὸν γενήσεται.

Ἐὰν νοεμβρίῳ τὸ τόξον φανῇ, εἷς ἐκ τῶν βασιλέων τελευτήσει, καὶ μετὰ ταῦτα ἔσται φύρσις.

Ἐὰν δεκεμβρίῳ τὸ τόξον φανῇ, εἰς τὴν δύσιν φόνοι μεγάλοι ἔσονται.

Ἐὰν ἰανουαρίῳ <τὸ τόξον φανῇ,> ὁ βασιλεὺς εἰς χεῖρας <τῶν ἀρχόντων> αὐτοῦ ἐμπεσεῖται.

Ἐὰν φεβρουαρίῳ <τὸ τόξον φανῇ,> χορτασία ἐν ὅλῳ τῷ κόσμῳ καὶ εἰρήνη <ἔσονται>.

Ἐὰν μαρτίῳ <τὸ τόξον φανῇ,> κακοποιοὶ ἄνθρωποι εἰς πολιτείας φανήσονται.

Περὶ ἀστραπῶν.

Ἀπριλλίῳ ἐὰν ἀστράψῃ, εἰς Περσίδα ἀῤῥωστία ἔσται· καὶ ἐὰν ἀνέμῳ ἀστράψῃ, ὁ βασιλεὺς τοὺς ἄρχοντας αὐτοῦ φονεύσει.

Μαΐῳ ἐὰν ἀστράψῃ, εἰς τὰς πολιτείας κακὰ ἔσονται.

Ἰουνίῳ ἐὰν ἀστράψῃ, βροχὴ λείψει καὶ εἰρήνη ἔσται.

Ἰουλίῳ ἐὰν ἀστράψῃ, ἄνθρωπος μέγας τελευτήσει.

Αὐγούστῳ ἐὰν ἀστράψῃ, λιμὸς εἰς Περσίδα γενήσεται.

Σεπτεμβρίῳ ἐὰν ἀστράψῃ, ὀργὴ θεοῦ κατὰ τοὺς Πέρσας ἐλεύσεται.

Ὀκτωβρίῳ ἐὰν ἀστράψῃ, ὑστέρησον εἰς ὃ θέλεις ποιῆσαι· καὶ ἐὰν ἐνδέχεται, μὴ ποιήσῃς, ὅτι κακοὶ πόλεμοι ἔσονται.

Νοεμβρίῳ ἐὰν ἀστράψῃ, δύναμις ἐν τῇ πόλει γενήσεται.

Δεκεμβρίῳ ἐὰν ἀστράψῃ, ἄνθρωπος μέγας κατὰ τῶν ἑταίρων αὐτοῦ κακὰ ἐνέγκῃ.

Ἰανουαρίῳ ἐὰν ἀστράψῃ, σπάνις εἰδῶν ἔσται.

Φεβρουαρίῳ ἐὰν ἀστράψῃ, ὀργὴ θεοῦ κατὰ μεγάλου ἀνθρώπου ἔλθῃ.

Μαρτίῳ ἐὰν ἀστράψῃ, ἐν πόλει μιᾷ πόλεμος καὶ ἀκαταστασία γένηται.

Σημεῖα ὅταν τρέμῃ ἡ γῆ.

Ἐὰν ἀπριλλίῳ τρέμῃ ἡ γῆ ἡμέρας, θλίψις καὶ κακὰ ἐν καρποῖς καὶ ἐν καλοκαιρίῳ γίνεται· καὶ ἐὰν νυκτὸς τρομάσῃ, πόλεμοι γίνονται.

Ἐὰν μαΐῳ τρομάσῃ ἡ γῆ, πόλεμοι ἔσονται.

13 cod. ἰαννουαρίω (et sic ubique). 13-14 <τῶν ἀρχόντων> nobis addendum videtur, cum supra (47, 9) et infra (v. 21) invenies τοὺς ἄρχοντας αὐτοῦ, 49, 26: τῶν ἀρχόντων αὐτοῦ. 18 cod. φανίσονται. 36 cod. ἡμερέας (et sic ubique).

Ἐὰν ἰουνίῳ τρομάσῃ ἡ γῆ, ἄνθρωπος μέγας τελευτήσει.

Ἐὰν ἰουλίῳ τρέμῃ ἡ γῆ, λιμὸς γίνεται.

Ἐὰν αὐγούστῳ τρομάσῃ ἡ γῆ, ἐχθροὶ φανήσονται καὶ τὴν εἴσοδον φεύγουσι τοῦ χρόνου ἐκείνου.

Ἐὰν σεπτεμβρίῳ τρέμῃ ἡ γῆ, ἀῤῥωστίαι κακαὶ γίνονται ἄνευ θανάτου.

Ἐὰν ὀκτωβρίῳ τρέμῃ ἡ γῆ, λαὸς ξένος ἐλεύσεται ἐν τῇ γῇ ἐκείνῃ.

Ἐὰν νοεμβρίῳ ἐν ἡμέρᾳ τρέμῃ ἡ γῆ, φυγὴ γίνεται· καὶ ἐὰν νυκτός, νέοι τελευτήσουσιν.

Ἐὰν δεκεμβρίῳ τρέμῃ ἡ γῆ ἡμέρας, ἀῤῥωστίαι γίνονται, καὶ ἐὰν νυκτός, θανατικὸν ἀλόγων.

Ἐὰν ἰανουαρίῳ τρέμῃ ἡ γῆ ἡμέρας, νεώτεροι καὶ θηρία τελευτήσει· εἰ δὲ νυκτός, σπουδὴ πραγμάτων ἔσται.

Ἐὰν φεβρουαρίῳ τρέμῃ ἡ γῆ ἡμέρας, πεῖνα καὶ θάνατος ἔσται· καὶ ἐὰν νυκτός, ἄνθρωπος μέγας τελευτήσει.

Ἐὰν μαρτίῳ τρομάσῃ ἡ γῆ ἡμέρας, ἀγαθὸν ἔσται· καὶ ἐὰν νυκτός, ἄνθρωπος μέγας τελευτήσει.

Περὶ σημείων τῆς Σελήνης.

Ἐὰν ἀπριλλίῳ κρουσθῇ ἡ σελήνη καὶ σκοτωθῇ, οἱ καρποὶ ὀλιγωθήσονται, καὶ τραυματίαι καὶ ψώρα καὶ πόνοι ἐν ἀνθρώποις γενήσονται, καὶ ἐν χώρᾳ Περσίδος θανατικὸν ἔσται, καὶ εἰς τοὺς Ἄραβας πεῖνα καὶ πόνοι πολλοὶ ἔσονται· καὶ βασιλεὺς φεύγει ἀλλ' ἐξειλήσει.

Ἐὰν μαΐῳ σκοτωθῇ ἡ σελήνη, πεῖνα ἔσται καὶ ἀῤῥωστία ἐν Περσίδι καὶ θλίψις, <καὶ> βροχαὶ πολλαὶ ἔσονται· καρποὶ δὲ γῆς καὶ θαλάσσης πληθυνθήσονται.

Ἐὰν ἰουνίῳ σκοτωθῇ ἡ σελήνη, ὁ βασιλεὺς βουλὴν ποιήσει κατὰ τῶν ἀρχόντων αὐτοῦ, καὶ τὸν πλοῦτον αὐτῶν λήψεται· καὶ πλούσιοι καὶ πένητες ταπεινωθήσονται· καὶ εἰς Ἀραβίαν φόνοι πολλοὶ ἔσονται· καὶ ἀκρὶς φάγῃ τοὺς καρπούς.

Ἐὰν ἰουλίῳ σκοτωθῇ ἡ σελήνη, εἰς Περσίδα κακὰ φανήσονται, καὶ <οἱ> μεγάλοι Περσίδος κατὰ τοῦ βασιλέως βουλὴν ποιήσουσι· καὶ ἐκ τούτων ἐξειλήσει καὶ τοὺς ἐχθροὺς αὐτοῦ φονεύσει.

Ἐὰν αὐγούστῳ σκοτωθῇ ἡ σελήνη, πολὺς λαὸς φονευθήσεται καὶ θανατικὸς ἐν ἀνθρώποις ἔσται.

Ἐὰν σεπτεμβρίῳ σκοτωθῇ ἡ σελήνη, ἀπ' ἀρχῆς τοῦ χρόνου ἕως δ' μηνῶν ἡ βροχὴ ὀλιγωθήσεται, καὶ ἐν πόλεσι πεῖνα ἔσται καὶ κακὰ ἐν ἀνθρώποις φανήσεται καὶ στρουθία πληθυνθήσονται.

Ἐὰν ὀκτωβρίῳ σκοτωθῇ ἡ σελήνη, εἰς τὴν δύσιν θανατικὸς καὶ πεῖνα ἔσται καὶ πόνος ὀφθαλμῶν.

11 sq. In cod. mensis ianuarius praemittitur mensi decembri. 20 cod. ἄρραβας. 21 et 31 ἐξηλίσει cod., ἐξειλήσει scripsimus. Ἐξειλεῖν = exsilire; cf. supra (47, 24) πραῖδαι = praedae (Boll). Cf. etiam ὑμάγεινε (43, 20). 25 et 30 Num <ἐπι>βουλὴν? 29 cod. φανίσονται.

Ἐὰν νοεμβρίῳ σκοτωθῇ ἡ σελήνη, ὀργὴ <θεοῦ> ἔλθῃ ἐπὶ πάντας ἀνθρώπους, καὶ ἐν πόλεσι πεῖνα ἔσται καὶ πόλεμοι μεγάλοι, καὶ ἄνθρωπος πιστὸς κατὰ τοῦ βασιλέως γενήσεται καὶ ἐρεῖ αὐτῷ· „ἐγὼ βασιλεύς εἰμι„, καὶ μετὰ ταῦτα εἰς χεῖρας τοῦ βασιλέως ἐμπεσεῖται.

Ἐὰν δεκεμβρίῳ σκοτωθῇ ἡ σελήνη, χειμὼν μέγας καὶ χιὼν καὶ ψῦχος καὶ ἄνεμοι μεγάλοι ἔσονται· καὶ εἰς τοὺς Καλοΐτας καὶ Πέρσας θανατικὸν καὶ λιμὸς ἔσται.

Ἐὰν ἰανουαρίῳ σκοτωθῇ ἡ σελήνη, οἱ καρποὶ καὶ ἡ σπορὰ πληθυνθήσεται, καὶ βροχαὶ μεγάλαι ἔσονται, καὶ οἶνος καὶ ἔλαιον γενήσεται, καὶ ὁ χρόνος πάνυ καλός.

Ἐὰν φεβρουαρίῳ σκοτωθῇ ἡ σελήνη, ἡ βροχὴ ὀλιγοῦται, καὶ ψῦχος καὶ χάλαζα ἔσται, καὶ θανατικὸν εἰς τοὺς βόας καὶ τὰ κτήνη γενήσεται, καὶ ὀψάρια πληθυνθήσονται, καὶ ἀκρὶς φανήσεται, καὶ φόβος ἔσται.

Ἐὰν μαρτίῳ σκοτωθῇ ἡ σελήνη, ὁ χρόνος καλός, σπορὰ καὶ καρποὶ πολλοί, καὶ οἱ ἄνθρωποι ἀγαλλιάσονται ὅτι εἴσοδος εἰς πάντα καλή, καὶ ἀρχῇ τοῦ χρόνου βροχαὶ καλαί, καὶ εἰς τὸ τέλος τοῦ χρόνου ὀλιγωθήσονται. — Τέλος.

F. 315. Περὶ βροντῶν[1].

α'. Ὀκτωβρίῳ ἐὰν φωνὴ βροντῆς ἀκουσθῇ <ἐν> α' τοῦ μηνός, ἄνθρωπος μέγας ἀποθνήσκει· καὶ ἐὰν ἐν ς' ἢ ζ' ἀκουσθῇ, ὁ ἀρχηγὸς τῆς χώρας τελευτήσει· καὶ ἐὰν εἰς τὰς η', οἱ καρποὶ τοῦ χρόνου ἐκείνου ψυγήσονται· καὶ ἐὰν εἰς τὰς θ' ἀκουσθῇ, πᾶν κακὸν ἔσται· καὶ ἐὰν εἰς τὰς ια' ἀκουσθῇ, κακῶς καὶ τότε ἔσται· καὶ ἐὰν εἰς τὰς ιβ', ἀκρὶς φάγῃ τὴν εὐφορίαν τοῦ χρόνου ἐκείνου· καὶ ἐὰν εἰς τὰς ιγ' ἀκουσθῇ, κακὴ ἡ εἴσοδος τοῦ σίτου καὶ τῆς κριθῆς· καὶ ἐὰν εἰς τὰς ιδ' ἀκουσθῇ, αἱ πολιτεῖαι τῆς γῆς ἐκείνης <εἰς> ἄλλην χώραν φεύγουσι· καὶ ἐὰν εἰς τὰς ιε', δατὸν ἐν τῷ γαζοφυλακίῳ τοῦ βασιλέως ἔσται, καὶ ὁ βασιλεὺς φεύγει ἐκ τῆς βασιλείας αὐτοῦ· καὶ ἐὰν μετὰ ιε' ἕως λ' ἀκουσθῇ, πᾶν καλὸν καὶ ἀγαθὸν ἔσται· καὶ ἐὰν ἡ σελήνη κύκλον ἔχῃ, πόλεμοι καὶ κακὰ καὶ ὕδωρ πολύ.

β'. Νοεμβρίῳ ἐ<ὰν> φωνὴ βροντῆς ἀκουσθῇ ἕως ι', πᾶν καλὸν ἔσται· καὶ ἐὰν ἐν τῇ γεννήσει τοῦ σεληναίου φωνὴ βροντῆς ἀκουσθῇ, βροχὴ μεγάλη γίνεται· καὶ ἐὰν ἡ σελήνη ὀφθῇ, πάγοι καὶ ψῦχος ἔσται καὶ ἄνεμος καὶ δρόσος· καὶ ἐὰν ὁ ἥλιος σκοτισθῇ, μία πόλις φοβηθήσεται· καὶ

1 <θεοῦ> cf. supra 48, 26, 33. 13 cod. φανίσεται, corr. φανήσεται. 21 τὰς cod., τὴν legit Wünsch. 23 καλῶς cod., κακῶς W. 24 καλὴ cod. (et W.), κακὴ scripsimus. 26 εἰς suppl. Kroll. δατὸν <sic> cod., δαστὸν legit W.

[1] Edidit R. Wünsch in *Byz. Zeitschr.*, 1896, V, 416-418. Ut apparet ex notis criticis, contulimus cum cod. et hic illic vel correximus vel alias quasdam lectiones proposuimus.

ἐὰν ἀστὴρ ἡμέρας πέσῃ, ἄνθρωπος μέγας τελευτήσει καὶ ἄλλος σταθήσεται· καὶ ἐὰν σημεῖον ἐν τῷ οὐρανῷ φανῇ, ὁ οἶνος ἀφανίζεται· καὶ ἐὰν ἡ σελήνη κύκλον σχῇ, πόλεμοι πολλοὶ ἔσονται.

γ'. Δεκεμβρίῳ ἐὰν φωνὴ βροντῆς ἀκουσθῇ, χλόη γίνεται, καὶ οἱ καρποὶ ὀλιγωθήσονται· καὶ ἐὰν ἀστὴρ μέγας ἀφανισθῇ, ἄνθρωπος μέγας τελευτᾷ· καὶ ἐὰν ὁ ἥλιος οὐ δώσει τὸ φέγγος αὐτοῦ, ἄνθρωπος μέγας τελευτᾷ· καὶ ἐὰν ἀστράψῃ, θέρος πληθυνθήσεται· καὶ ἐὰν ἀπὸ γ' καὶ ἄνω βροντήσῃ, ἀποθνήσκουσιν ἄρχοντες τῆς γῆς ἐκείνης· καὶ ἐὰν ἡ σελήνη κύκλον σχῇ, βροχὴ μεγάλη.

δ'. Ἰανουαρίῳ ἐὰν φωνὴ βροντῆς ἀκουσθῇ ἕως ια', ὁ σῖτος βρωθήσεται· καὶ ἐὰν αὐχμὸς γένηται, πρόβατα καὶ αἶγες ἀπολοῦνται· καὶ ἐὰν χιών, τελευτῶσι πολλοί· καὶ ἐὰν ἡ γῆ τρομάξῃ, ταραχὴ ἔσται· καὶ ἐὰν ἐν τῷ τέλει τοῦ μηνὸς ἀκουσθῇ φωνὴ βροντῆς, ἀκρὶς μεγάλη ἔσται· καὶ ἐὰν ὁ ἥλιος οὐ δώσει τὸ φέγγος, ὄξος γίνεται καὶ σῖτος καὶ οἶνος, καὶ οἱ καρποὶ πληθυνθήσονται· καὶ ἐὰν ἡ σελήνη κύκλον σχῇ, πόλεμοι καὶ κρύος ἔσται.

ε'. Φεβρουαρίῳ ἐὰν φωνὴ βροντῆς ἀκουσθῇ, εἰς πάντα καλὸν λίαν, χλόη καὶ ὕδναι πληθυνθήσονται· καὶ ἐὰν ὁ ἥλιος οὐ δώσει τὸ φέγγος αὐτοῦ, φόνοι πληθυνθήσονται καὶ βροχὴ ἔσται· καὶ ἐὰν σημεῖον φανῇ ἡμέρας, αὐχμὸς ἔσται, καὶ ἄνθρωπος μέγας τελευτήσει· καὶ ἐὰν ἀστὴρ ἡμέρας πέσῃ, βασιλεὺς ἐκ τῆς βασιλείας αὐτοῦ πίπτει· καὶ ἐὰν σεισμὸς γένηται, ταραχὴ ἔσται ἐν τῇ χώρᾳ ἐκείνῃ· καὶ ἐὰν ἡ σελήνη κύκλον σχῇ, βροχαὶ καλαὶ γίνονται καὶ ἄνεμοι ψυχροί.

ς'. Μαρτίῳ ἐὰν φωνὴ βροντῆς ἀκουσθῇ, σῖτος καὶ οἶνος πληθυνθήσεται καὶ χλόη· καὶ ἐὰν ὁ ἥλιος οὐ δώσει τὸ φέγγος αὐτοῦ, τὰ λάχανα καὶ οἱ καρποὶ πεσοῦνται· καὶ ἐὰν ἐν τῇ ἀναβάσει ἀσπρυνθῇ, ἐξουσιαστὴς ἐκ τῆς ἐξουσίας αὐτοῦ πίπτει· καὶ ἐὰν ἀστὴρ ἡμέρας πέσῃ, σκότος ἔσται καὶ ἀκρὶς φάγεται τοὺς καρποὺς τοῦ χρόνου· καὶ ἐὰν σημεῖον ἐν οὐρανῷ φανῇ, καλὸς καιρός· καὶ ἐὰν ἡ σελήνη κύκλον σχῇ, βασιλεῖς β' πρὸς ἀλλήλους ἔλθωσιν.

ζ'. Ἀπριλλίῳ ἐὰν φωνὴ βροντῆς ἀκουσθῇ, σῖτος καὶ οἶνος εἰσέρχονται· καλὰ γὰρ καὶ ἀγαθὰ σημαίνει τῇ χώρᾳ καὶ ταῖς πόλεσι. καὶ ἐὰν ἄρκτος φυσήσῃ, καλὰ λίαν· καὶ ἐὰν ἡ σελήνη φανῇ καὶ κοιμᾶται ἐπὶ ἀριστερά, βροχὴ μεγάλη ἔσται· καὶ ἐὰν αὖθις ἡ σελήνη κύκλον σχῇ, βροχὴ μεγάλη γίνεται.

η'. Μαΐῳ ἐὰν φωνὴ βροντῆς ἀκοῦσθῇ, ἀπώλεια προβάτων καὶ βροχὴ μεγάλη ἔσται, καὶ τροφὴ πληθυνθήσεται ἀνθρώποις· καὶ ἐὰν ὁ ἥλιος οὐ δώσει τὸ φέγγος αὐτοῦ, οἱ καρποὶ πεσοῦνται· καὶ ἐὰν ὁ ἀστὴρ ὁ μέγας

1 cod. πέσῃ et sic ubique, nusquam autem σπέσῃ ut passim legit W. 3 σχῇ cod., ἔχῃ legit W. 6 οὐ a W. uncis inclusum exstat in cod. 14 Num ὀξὺς et 15 <οὐ> ante πληθυνθήσονται? 24 πληθυνθήσεται cod., πληθυνθήσονται W. 26 ἐξουσιαστὴς cod., ἐξουσία, ἀστὴρ perperam legit W. 33 κομᾶται coni. Martini, κυρτῶται Kroll.

οὐ δώσει τὸ φέγγος αὐτοῦ, λεῖψις οἴνου γίνεται· καὶ ἐὰν ἡ σελήνη οὐ λάμπει, θανατικὸς ἀνδρῶν ἔσται, καὶ λαὸς πεσεῖται ἐπὶ λαῷ καὶ θανατώσουσιν ἀλλήλους, καὶ σπουδὴ πραγμάτων γίνεται· καὶ ἐὰν διὰ τῆς μεσημβρίας βροντήσῃ καὶ ἐὰν τρέμῃ ἡ γῆ, πεῖνα γίνεται· καὶ ἐὰν ἀστὴρ ἡμέρας πέσῃ, ὁ ἀρχηγὸς τῆς χώρας ἐκείνης τελευτήσει, καὶ τὰ σεμνὰ χωρία ἐρημωθήσονται, καὶ λαὸς ἔλθῃ, καὶ θέαμα ἔσται ἐν αὐτῇ τῇ χώρᾳ· καὶ ἐὰν ἀστράψῃ, αἱ ὁδοὶ κόπτονται, καὶ κακοποιοὶ φαίνονται· καὶ ἐὰν ἡ σελήνη κύκλον σχῇ, πόλεμος μέγας καὶ ἀρρωστίαι ἔσονται.

θ'. Ἰουνίῳ ἐὰν φωνὴ βροντῆς ἀκουσθῇ, πᾶν κακὸν γίνεται ἐν τῇ χώρᾳ ἐκείνῃ, καὶ ἀκρὶς φάγῃ τοὺς καρποὺς τοῦ χρόνου ἐκείνου· καὶ ἐὰν ὁ ἀστὴρ ὁ μέγας ἀφανισθῇ, αἱ ὁδοὶ κόπτονται, καὶ ἄνθρωποι κακοποιοὶ φαίνονται, καὶ τὰ σεμνὰ χωρία φεύγουσι, καὶ θανατικὸν γίνεται· καὶ ἐὰν ἡ σελήνη κύκλον σχῇ, πόλεμοι καὶ ἀρρωστίαι· καὶ ἐὰν σκοτισθῇ νυκτός, κακὸν ἔσται.

ι'. Ἰουλίῳ ἐὰν φωνὴ βροντῆς ἀκουσθῇ, ἡ εὐφορία τοῦ χρόνου ἐκείνου ἀφανισθήσεται, καὶ κέρδος ἐν τῷ οἴνῳ ἔσται, καὶ τὰ γεννήματα πληθυνθήσονται, καὶ ἄνθρωπος μέγας τελευτήσει· καὶ ἐὰν ἡ σελήνη ἑσπέρας ἀφανισθῇ, λαὸς ξένος ἐν τῇ χώρᾳ ἐκείνῃ ἔρχεται· καὶ ἐὰν ὁ ἀστὴρ ὁ μέγας οὐ δώσει τὸ φέγγος αὐτοῦ, πόλις βασιλικὴ ἔμφοβος γενήσεται· καὶ ἐὰν σημεῖον ἐν οὐρανῷ φανῇ, χλόη καὶ ὕδναι πληθυνθήσονται· καὶ ἐὰν ἀστράψῃ, ὁ βασιλεὺς τῆς γῆς ἐκείνης τελευτήσει, καὶ σεμνὰ χωρία ἀφανισθήσονται. ἐν αὐτῷ τῷ μηνὶ μὴ στολισθῇς, μηδὲ ἐν τῇ κλίνῃ σου νέον ἱμάτιον θήσῃς, μήτε προσκέφαλον νέον, ἵνα μὴ ὁ υἱός σου τελευτήσῃ· μήτε ὑπόδημα νέον ὑποδήσῃ, ὅτι οὐ καλὸν τοῦτο· μήτε θυρίδα ἢ θύραν ἀνοίξῃς, καὶ ἐὰν τραχηλικόν σου παπαλαίωται, μὴ ῥάψῃς αὐτό. καὶ ἐὰν ἡ ἄκρα τῆς σελήνης ἐστὶν ὀρθή, ζημίαν δηλοῖ· ἐὰν δὲ κλιτή, ἀγαθὴ καὶ ἀγαθὸν τὸν χρόνον δηλοῖ. καὶ μετὰ τῆς συμβίου σου μὴ κοιμηθῇς, διότι ὁ μὴν οὗτος κεκατήραται ὑπὸ θεοῦ καὶ πάντα ἃ πράττονται ἐν αὐτῷ. καὶ ἐὰν ἡ σελήνη κύκλον σχῇ, ἀρρωστίαι καὶ πόνοι κακοί.

ια'. Αὐγούστῳ ἐὰν φωνὴ βροντῆς ἀκουσθῇ, ἀφανισμὸς οἴνου ἔσται· καὶ ἐὰν ὁ ἥλιος οὐ δώσει τὸ φέγγος αὐτοῦ, μέγας ἄνθρωπος τελευτήσει, καὶ στάσις κακὴ γίνεται· καὶ ἐὰν ἡ σελήνη ἀφανισθῇ, λαὸς ξένος ἔρχεται καὶ ἐρημοῖ τὴν γῆν· καὶ ἐὰν ἡ σελήνη κύκλον σχῇ, θανατικὸς θηρίων ἔσται καὶ πρόβατα πληθυνθήσονται.

ιβ'. Σεπτεμβρίῳ ἐὰν βροντήσῃ, ἡ χώρα ἐκείνη ἀπολεῖται· καὶ ἐὰν ὁ ἀστὴρ ὁ μέγας οὐ δώσει τὸ φέγγος αὐτοῦ, ἀπώλεια σπορᾶς. καὶ ἐὰν τρομάσῃ ἡ γῆ, ἄνδρες φοβηθήσονται· καὶ ἐὰν νέφη μεσημβρινὰ ἡμέρας γένωνται, θανατικὸς ἔσται· καὶ ἐὰν ἡ σελήνη κύκλον σχῇ, ὁ χρόνος καλὸς καὶ ὕδατα πολλά. — Τέλος.

3 σπουδὴ cod., σπονδὴ W. 24 ὑποδήσῃς W. 25 θύραν ἢ θύραν cod. (et W.), θυρίδα ἢ θύραν scripsimus. 36 ἀπόλεται cod., ἀπώλεται W.

EXCERPTUM EX CODICE 23 (H 2 INF.)

F. 225. Ποίησις κεφαλῆς ἀποτελέσματος τοῦ Ἡλιοδώρου[1].

Ἔπαρον ἀνθρώπου κρανίον παλαιὸν καὶ πλῦνον αὐτὸ εἰς ὕδωρ καθαρὸν νύκτας γ' καὶ τύλιξον αὐτὸ εἰς πάννον καθαρὸν καὶ ἄπελθε εἰς τρίοδον καὶ γράψον ταῦτα τὰ ὀνόματα ἐν τῷ μετώπῳ αὐτοῦ· μπουάκ, σαριάκ, Λουτζηφέρ· καὶ ἔπαρον πλευρὸν φουρκισμένου καὶ ποίησον ἕνα πόλον καὶ βάλε μέσον δέρμα γαλῆς μελαίνης καὶ βάλε τὴν κεφαλὴν ἐπάνω εἰς αὐτὸ καὶ λέγε τούτους τοὺς λόγους· « Ἐξορκίζω ἐσὰς τὰ ὀνόματα ἅτινα ἐστὶ γεγραμμένα ἐν τῷ μετώπῳ τοῦ κρανίου εἰς τὸ νά με δείξητε καὶ νὰ κάμνητε ἐπάνω εἰς τὴν ἐρώτησιν ὁποίαν βουληθῶ ἐρωτῆσαι διὰ νά με 'πῆτε τὴν ἀλήθειαν. » καὶ ἄφες τὴν κεφαλὴν καὶ φεῦγ' ἐς τόπον καλόν, καὶ ὅταν ἄρξωνται οἱ ἀλέκτορες κράζειν, ἄπελθε καὶ λάβε αὐτὸ καὶ ἔχε αὐτὸ λαθραίως παρὰ πολλῶν· ὅταν δὲ βούλει ἐρωτῆσαι αὐτό, νήστευσον ἡμέρας γ' μήτε ἄρτον μήτε ὕδωρ γευθεὶς καὶ ἐρώτα αὐτὸ τῇ νυκτὶ καὶ ὁμολογεῖ εἰς τὸ χρήζεις. [F. C.]

P(arisinum) 2419, s. XV, f. 140v descripsi, A(mbrosianum) contulit Dominicus Bassi. 3 πλύνον codd. 4 κάθαρον coni. Kroll. τήλειξον P : τήλιξον A. πάνιν P. 5 τριώδον ut vid. P. γράφε A. 5-6 μπουάκ, σαριάκ non intellego. Lucifer invocari videtur. 6 φουρκισμένος = suspendio interemptus. 7 ἕναν πόλον P : ἕναπολον A. δέρμαν codd. Sic fortasse scripsit excerptor. βάλλε A. 8 αὐτῶ P. ἐσάς P : σε A. 9 ἐστὶ A : ἥστ(ι?) P. μετόπω codd. 10 δείξηται codd. καινὰ P : καὶ ινα A. κάμνηται P : κάμνεται A. ἐπάνω vix sanum. 11 πῆτε codd. τὸ κεφάλην P (pro τὸ κεφάλι). φεῦγ' ἐς corr. Wünsch : φεῦγε codd. 12 ἄρξονται codd. 13 βούλη P. 14 γεύθης P. 15 ὁμολογεῖ A : ὁμολογῆ P. χρίζεις P.

[1] De Heliodoris. cf. *Catal. codd. Flor.*, p. 57, n. 1; *Catal. codd. Venet.*, p. 81, n. 1. — Magica haec formula, quae illustris quinti saeculi " philosophi „ nomen prae se fert, certe multo posterius conficta est, nam scriptor, quisquis ille est, hodierno fere graeco sermone utitur. Propius tamen ad vulgarem linguam accedit codex Parisinus quam Ambrosianus, qui fortasse genuinum textum melius servavit.

INDICES NOMINUM

Numeri priores paginam et versum designant, posteriores uncis inclusi codicem et folium.

I. NOMINA SCRIPTORUM

II. NOMINA CETERA

TABULA ARGUMENTI

CATALOGUS CODICUM

APPENDIX

Excerptum ex codice 2 (Ambr. A 56 sup.)

Excerptum ex codice 7 (Ambr. B 33 sup.)

Excerpta ex codice 16 (Ambr. E 16 sup.)

Excerptum ex codice 17 (Ambr. E 37 sup.)

Excerpta ex codice 19 (Ambr. E 81 sup.)

Excerptum ex codice 23 (Ambr. H 2 inf.)

INDICES

Bruxellis. — Typis Polleunis & Ceuterick.